BIBLIOTECA NAZIONALE VITT. EMANUELE
68
8 B
25

52. 9. C. 18-

[illegible]

Esemplare integro.

Gio: Maria Viti

ΠΙΝΔΑΡΟΥ.

Ὀλύμπια.
Πύθια.
Νέμεα.
Ἴσθμια.
Καλλιμάχου ὕμνοι, οἱ εὑρισκόμενοι.
Διονυσίου περιήγησις.
Λυκόφρονος ἀλεξάνδρα, τὸ σκοτεινὸν ποίημα.

PINDARI.

Olympia.
Pythia.
Nemea.
Iſthmia.
Callimachi hymni qui inueniuntur.
Dionyſius de ſitu orbis.
Lycophronis Alexandra, obſcurum poema.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE



ALDVS MANVTIVS ROM. ANDREAE NAVAGERIO PATRITIO VENETO. S. P. D.

Vnt iam quatuor anni Nauageri clariſs. cum ſtatui duram hanc prouinciã noſtram intermittere, quod uiderem totum ferè Italiã ardere crudeliſſimo bello. tum quia cogebar abeſſe Venetijs, ut agros, et pretioſa prædia noſtra, quæ amiſimus, non noſtra quidẽ culpa, ſed horum infelicium temporum, recuperaremus. Viui enim et nos peruenimus, quib. dicatur durũ illud, Hæc mea ſunt, ueteres migrate coloni. Verũ cum nihil proficeremus, atq; integraſcere mala, et incendia belli uiderentur, quæ propediem extinctumiri ſperabamus, reuertimus Venetias, quas Athenas alteras hoc tempore poſſumus dicere, cum propter alios plurimos ſingulari doctrina præditos uiros, tum propter Muſurũ noſtrũ, cuius hortatu, et tuo, et Iucundi noſtri iucundiſſimi, et cæterorũ, qui bonis litiris magnopere delectantur, mutaui ſententiam, atq; ad labores redij, eos, quos quã duriſſimos, iam uiginti annos expertus, uixq; æquos noueram uirib. noſtris. Sed qm̃ iã pridẽ mihi imperaui, nulla unq̃ euitare incõmoda, nullas impẽſas, nullos labores, dũ proſim hoĩb. ſummiſi caput ceruice parata ferre iugũ. Quamobrẽ optimos quosq; libros tam græcos, q̃ latinos, id quod ſæpe aliâs memini polliceri, emittere eſt animus excuſos cura noſtra in manus ſtudioſorũ. Sum præterea aggreſſurus et hebraicos propter Libros ſacros noſtros, qui ex he-

braicis græci, et e græcis latini facti ſunt, ut cũ illis conferri poſſint, et ſiqui ſunt errores. (Aiunt enim eſſe quã plurimos.) tollantur, idq; ad utilitatem et gloriam Chriſtianæ Religionis. Faueat igitur Deus Opt. Max. σωτὴρ ἰάων. En exit tibi primus in publicũ ex ædib. noſtris mi Nauageri tuus Pindarus tanq̃ Dux, habens ſecũ comites Callimachũ. Dionyſium de ſitu orbis. Lycophronem, et exit quidem ſub tuo nomine, cũ pro mea erga te incredibili beneuolentia, quod ſis apprime doctus et, quod paucis admodũ datum eſt, acutiſſimo homo ingenio, acerrimóq; iudicio. Sunt enim multi ingenioſi quidẽ, ſed uel paruo, uel nullo iudicio, Cõtra, non nulli acri quidẽ iudicio, ſed minimo ingenio, tu æque et ingenio, et iudicio uales plurimum, Teſtimonio ſunt tua ſcripta abſolutiſſima uel carmine, uel proſa oratione. nam et hac, et illo certas cum Antiquitate, quẽadmodum et Petrus Bembus noſter Decus eruditorũ ætatis noſtræ, et magnæ ſpes altera Romæ. Sed hæc parcius, ne uidear aſſentari, id quod à me maxime eſt alienum. Deus eſt mihi teſtis, nec dicere me quicquã, nec ſcribere unq̃, niſi quod ſentio, quodque uerũ mihi eſſe uidetur.

Ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς ἀίδαο πύλῃσιν,
Ὃς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσὶν, ἄλλο δὲ εἴπῃ.
Αὐτὰρ ἐγὼν ἐρέω, ὥς μοι δοκεῖ εἶναι ἀληθῆ.

Tum etiam uolui, ut ſub tuo nomine exiret Pindarus ex Academia noſtra, q a ſic delectaris hoc Poeta, ut ſæpe eũ tua manu accurate deſcripſeris, puto, ut tibi magis fieret familiaris, tum ut ediſceretur à te facilius, et teneretur memoria tenacius. Id quod deſcribendo Thucydẽ fecit Demoſthenes, qui, ut Lucianus ait πρὸς ἀπαί

ἀυτὸν, octies illū deſcripſit, idq; ad ſuā ipſius utilitatē
Nā haud facile dixerim, quātum ſuā adiuuet memo
riam, qui uel notet in Margine ſingula quæq; ſcitu, et
memoratu digna, quæ legerit, uel deſcribat ſua manu
integros, libros, quos ſibi uelit fieri familiareis, græcos
præſertim, cū propter alia multa, tum propter accētus,
et Orthographiam, quæ ſiquis aut ignorat, aut negli
git, non habetur doctus. Quare meo quidē iudicio, nō
hortandi ſolum ſunt Iuuenes, ut ſua manu ſibi deſcri=
bant, quib. ſtudeant, libros, ſed etiam cōpellendi, et ſi
omneis nō queant, at optimum quēq;, et candidiſſimū.
Cōmentaria aūt in Pindarum, et cæteros, quos ei adiū
xi comites, nec nō in Heſiodum. Sophoclē. Euripidem.
Aeſchylum. Theocritū. Oppianū breui daturi ſumus
uno uolumine. Quib. eſt animus facere indicem, eorū
omniū, quæ ſcitu digna in ijs ipſis habentur commenta-
rijs. Quāquidem rem in omnib. libris, qui ex edibus
noſtris exibunt in manus hominū facturi ſumus, ſi Sa
xū, qđ tot annos uoluo, alter Siſyphus, in mōtis Cacu-
men perduxero. Nūc uero premuntur torcularibus ho-
rum Oratorū Orationes, uidelicet. Aeſchinis. Lyſiæ.
Dinarchi Andocidæ. Iſæi. Antiphōtis. Gorgiæ. Dema
dis. Alcidamātis. Leſbonactis. Antiſthenis. Poſt hos da
buntur Deo uolente, Platonis opera. Tum Xenophōtis,
et deinceps cæterorū illuſtriū. Tu mi Nauageri iterea,
tuum Pindarum lege, et nos ut amas, ama. Vale.

Pindari Olympia, quorum cantica. XIIII.

ἄριστον μὲν ὕδωρ, ὁ δὲ	1
ἀναξιφόρμιγγες ὕμνοι.	8
τυνδαρίδαις τε φιλοξείνοις ἁδεῖν-	15
ἐλατὴρ ὑπέρτατε βροντᾶς	19
ὑψηλᾶν ἀρετᾶν, καὶ	20
χρυσέας ὑποστάσαντες εὐ	23
φιάλαν ὡς εἴ τις ἀ-	30
μᾶτερ ὦ χρυσοστεφάνων	37
τὸ μὲν ἀρχιλόχου μέλος	42
τὸν ὀλυμπιονίκαν ἀνάγνωτέ μοι	48
ἔστιν ἀνθρώποις ἀνέμων ὅτε πλεῖστα	53
λίσσομαι παῖ ζηνὸς ἐλευθερίου	54
τρισολυμπιονίκαν ἐπαινέων	56
καφησίων ὑδάτων λαχοῖσαι	62

Eiuſdem Pythia, quorum cantica. XII.

χρυσέα φόρμιγξ ἀπόλλω-	65
μεγαλοπόλιες ὦ συρα-	72
ἤθελον χείρονά κε φιλλυρίδαν	79
σάμερον μὲν χρή σε παρ' ἀνδρὶ φίλῳ	87
ὁ πλοῦτος εὐρυσθενής,	108
ἀκούσατ'. ἦ γὰρ ἑλικώπιδος ἀφροδίτας	115
κάλλιστον αἱ μεγαλοπόλιες ἀθᾶναι.	117
φιλόφρον ἡσυχία δίκας	118
ἐθέλω χαλκάσπιδα πυθιονίκαν	124

ὀλβία λακεδαῖμον 133
κάδμου κόραι, σεμέλα 137
αἰτέω σε φιλάγλαε καλ. 141

Eiuſdem Nemea, quorum cantica. XI.

ἄμπνευμα σεμνὸν ἀλφεοῦ 144
ὅθεν περ καὶ ὁμηρίδαι 148
ὦ πότνια μοῖσα μᾶτερ 150
ἄριστος εὐφροσύνα 156
οὐκ ἀνδριαντοποιός εἰ 162
ἓν ἀνδρῶν, ἓν θεῶν γένος, ἐκ 166
ἐλείθυια πάρεδρος μοιρᾶν βαθυφρόνων 171
ὥρα πότνια, κᾶρυξ 177
κωμάσομεν παρ' ἀπόλλω- 180
δαναοῦ πόλιν ἀγλαο- 186
παῖ ῥέας ἅ τε πρυτανεῖα λέλογχας ἑστία 192

Eiuſdem Iſthmia, quorum cantica. VII.

μᾶτερ ἐμὰ τὸ τεὸν χρύσα- 196
οἱ μὲν πάλαι ὦ θρασύβουλε 200
εἴ τις ἀνδρῶν εὐτυχήσαις. 203
μᾶτερ ἀελίου πολυώνυμε θεία 209
θάλλοντος ἀνδρῶν ὡς ὅτε συμποσίου 212
τίνι τῶν πάρος ὦ μάκαιρα θήβα 217
κλεάνδρῳ τις ἁλικία τε λύτρον 220

Καλλιμάχου ὕμνοι, οἱ εὑρισκόμενοι.

ΕΙΣ ΔΙΑ. 227
Ζηνὸς ἔοι τί κεν ἄλλο παρὰ σπονδῇσιν ἀείδειν.
ΕΙΣ ΑΠΟΛΩΝΑ. 231

οἶον ὅτ' ὠπόλλωνος ἐσείσατο δάφνιδος ὅρπηξ.
ΕΙΣ ΑΡΤΕΜΙΝ. 235
ἄρτεμιν οὐ γὰρ ἐλαφρὸν ἀειδόντεσσι λαθέσθαι
ΕΙΣ ΔΗΛΟΝ. 246
τὴν ἱερὰν ὦ θυμὲ τίνα χρόνον, ἢ πότ' ἀείσεις
ΕΙΣ ΛΟΥΤΡΑ τῆς παλλάδος. 258
ὅσσαι λωτροχόοι τᾶς παλλάδος ἔξιτε πᾶσαι
ΕΙΣ ΔΗΜΗΤΡΑ. 264
τῶ καλάθω κατιόντος ἐπιφθέγξασθε γυναῖκες
ΔΙΟΝΥΣΙΟΥ ΠΕΡΙΗΓΗΣΙΣ 271
ἀρχόμενος γαῖάν τε, καὶ εὐρέα πόντον ἀείδειν.
ΛΥΚΟΦΡΟΝΟΣ ΑΛΕΞΑΝΔΡΑ. 317
λέξω τὰ πάντα νητρεκῶς, ἅμ' ἱστορεῖς.

πινδάρου λυρικοῦ γένος.

πίνδαρος, τὸ μὲν γένος θηβαῖος· υἱὸς δαϊφάντου κατὰ τοὺς ἀληθεστέρους. οἱ δὲ, σκοπελίνου φασίν. οἱ δὲ λέγουσι τὸν αὐτὸν δαΐφαντον καὶ σκοπελῖνον. οἱ δὲ παγωνίδου, καὶ μυρτοῦς ἀπὸ κώμης κυνοκεφάλων. ὁ δὲ σκοπελῖνος διδάσκων τὴν αὐλητικὴν τὸν πίνδαρον, ἐπεὶ εἶδε μείζονος ἕξεως ὄντα, παρέδωκε λάσῳ τῷ ἑρμιονεῖ μελοποιῷ, παρ' ᾧ τὴν λυρικὴν ἐπαιδεύθη. γέγονε δὲ κατὰ τοὺς χρόνους αἰσχύλου, καὶ τέθνηκεν, ὅτε τὰ περσικὰ ἤκμαζεν. ἔσχε δὲ θυγατέρας δύο. πολύμητιν, καὶ πρωτομάχην. κατῴκει δὲ τὰς θήβας, πλησίον τοῦ ἱεροῦ τῆς

μητρὸς τῶν θεῶν τῆς ῥέας. ἐτίμα δὲ ταύτην
σφόδρα, καὶ τὸν πᾶνα, καὶ τὸν ἀπόλλωνα, εἰς
ὃν καὶ πλεῖστα γέγραφε. νεώτερος δὲ ἦν σιμω-
νίδου. πρεσβύτερος δὲ βακχυλίδου. κατὰ δὲ
τὴν τοῦ ξέρξου κατάβασιν ἤκμαζεν τὴν ἡλικί-
αν. ἐτιμήθη δὲ σφόδρα ὑπὸ πάντων τῶν ἑλλή-
νων, διὰ τὸ ὑπὸ τοῦ ἀπόλλωνος φιλεῖσθαι, ὡς
καὶ μερίδα λαμβάνειν ἀπὸ τῶν προσφερομέ-
νων τῷ θεῷ, καὶ τὸν ἱερέα βοᾶν ἐν ταῖς θυσίαις
πίνδαρον ἴθι ἐπὶ τὸ δεῖπνον τοῦ θεοῦ. λόγος δὲ, ὅτι
ποτὲ λακεδαιμόνιοι βοιωτοὺς ἐμπρήσαντες,
καὶ θήβας, ἀπέσχοντο τῆς οἰκίας αὐτοῦ, θεα-
σάμενοι ἐπιγεγραμμένον τὸν στίχον τοῦτον, πιν-
δάρου τοῦ μουσοποιοῦ τὴν στέγην μὴ καίετε. ὅ-
περ καὶ τὸν ἀλέξανδρον μετὰ ταῦτά φασι πε-
ποιηκέναι. ἐχθρῶν δὲ διακειμένων τῶν ἀθηναίων
πρὸς τοὺς θηβαίους, ἐπεὶ εἶπεν ἐν τοῖς ποιήμασι
μεγαλοπόλιες ἀθᾶναι, ἐζημίωσαν αὐτὸν χρή-
μασι θηβαῖοι, ἅπερ ὑπὲρ αὐτοῦ ἔτισαν ἀθηναῖοι.
ἔγραψε δὲ ὀλυμπιονίκας. πυθιονίκας. νεμεο-
νίκας. καὶ ἰσθμιονίκας. ἔστι δὲ τὰ ὀλύμπια, ἀ-
γὼν εἰς τὸν δία. τὰ πύθια, ἀγὼν εἰς τὸν ἀπόλλω-
να. τὰ νέμεα, ἀγὼν καὶ αὐτὸς εἰς τὸν δία. τὰ δὲ
ἴσθμια, ἀγὼν εἰς τὸν ποσειδῶνα. τὰ δὲ ἔπαθλα
τούτων, ἐλαία. δάφνη. σέλινον ξηρόν τε, καὶ χλω-
ρόν. ἐννέα δὲ οἱ λυρικοί. ἀλκαῖος. σαπφώ. στη-

σίχορος. ἴβυκος. βακχυλίδης. σιμωνίδης. ἀλκμὰν. ἀνακρέων. καὶ πίνδαρος.

Καὶ ἄλλως ἐκ τῶν σουΐδα.

Πίνδαρος θηβαῖος, σκοπελίνου υἱός. κατὰ δέ τινας δαϊφάντου, ὃ καὶ μᾶλλον ἀληθές. ὁ γὰρ σκοπελίνου ἐστὶν ἀφανέστερος, καὶ προσγενὴς πινδάρου. τινὲς δὲ καὶ παγωνίδου ἱστόρησαν αὐτόν. μαθητὴς δὲ μυρτίδος γυναικός. γεγονὼς κατὰ τὴν ξέ ὀλυμπιάδα κατὰ τὴν ξέρξου στρατιὰν ὢν ἐτῶν μ΄. καὶ ἀδελφὸς μὲν ἦν αὐτῷ ὄνομα ἐρωτίων, καὶ υἱὸς διόφαντος. θυγατέρες δὲ εὐμῆτις, καὶ πρωτομάχη, καὶ συνέβη αὐτῷ τὸν βίον τελευτῆσαι κατ' εὐχάς. αἰτήσαντι γὰρ τὸ κάλλιστον αὐτῷ δοθῆναι τῶν ἐν τῷ βίῳ, ἀθρόον αὐτὸν ἀποθανεῖν ἐν θεάτρῳ ἀνακεκλιμένον εἰς τὰ τοῦ ἐρωμένου θεοξένου αὐτοῦ γόνατα ἐτῶν νέ. ἔγραψε δὲ ἐν βιβλίοις ιζ΄ δωρίδι διαλέκτῳ, ταῦτα, ὀλυμπιονίκας. πυθιονίκας. προσόδια. παρθένια. ἐνθρονισμούς. βακχικά. δαφνηφορικά. παιᾶνας. ὑπορχήματα. ὕμνους διθυράμβους. σκολιά. ἐγκώμια. θρήνους. δράματα τραγικὰ ιζ΄. ἐπιγράμματα ἐπικά. καὶ καταλογάδην παραινέσεις τοῖς ἕλλησι, καὶ ἄλλα πλεῖστα.

Πίνδαρος σκοπελίνου θηβαῖος, καὶ αὐτὸς λυρικός. ἀνεψιὸς τοῦ προτέρου, τὰς θήβας τὴν

πόλιν, ἀλέξανδρόν φασιν εἰς ἔδαφος κατασκά-
ψαι καὶ πολλῶν ἱρῶν τε, καὶ ἱρέων τοὺς ἄλλους
ἀνδραποδίσαι. καὶ τὴν πινδάρου δὲ τοῦ ποιητοῦ
οἰκίαν, καὶ τοὺς ἐκγόνους τοῦ πινδάρου, φησὶν ἀῤῥια
νὸς ὁ ἱστορικὸς ἐν τῇ πρώτῃ διαβάσει ἀλεξάνδρου,
ἀπαθεῖς ἐφύλαξεν, αἰδοῖ τῇ τοῦ πινδάρου.

Laus Pindari ex Horatio.

Pindarum quiſquis ſtudet æmulari
Iule, ceratis ope Dædalea
Nititur pennis, uitreo daturus
Nomina ponto.
Monte decurrens, uelut Amnis, imbres
Quem ſuper notas aluere ripas,
Feruet, immenſusq; ruit profundo
Pindarus ore,
Laurea donandus Apollinari,
Seu per audaces noua Dithyrambos
Verba deuoluit, numerisq; fertur
Lege ſolutis,
Seu Deos, Regisq; canit Deorum
Sanguinem, per quos cecidere iuſta
Morte Centauri, cecidit tremendæ
Flamma Chimæræ,
Siue quos Elea domum reducit
Palma cœleſtes, pugilém ue, equúm ue
Dicit, et centum potiore ſignis
Munere donat.
Flebili Sponſæ, iuueném ue raptum

P lorat, et uires, animumq́; moresq́;
A ureos deducit in aſtra, nigroq́;
Inuidet Horco.
M ulta Dircæum leuat aura Cycnum,
T endit Antoni quoties in altos
N ubium tractus. Ego Apis Matinæ
More, modoq́;
G rata carpentis Thyma per laborem
P lurimum, circa nemus, uuidiq́;
T yburis ripas, operoſa paruus
Carmina fingo.

Γένος καλλιμάχου ἐκ τῶν σουΐδα.

καλλίμαχος, υἱὸς βάττου, καὶ μεσάτμας κυρηναῖος γραμματικός. μαθητὴς ἑρμοκράτους τοῦ ἰασέως γραμματικοῦ. γαμετὴν ἐσχηκὼς τὴν εὐφράτου τοῦ συρακουσίου θυγατέρα, ἀδελφῆς δὲ αὐτοῦ παῖς ἦν ὁ νέος καλλίμαχος ὁ γράψας περὶ νήσων δι᾽ ἐπῶν. οὕτω δὲ γέγονεν ἐπιμελέστατος ὡς γράψαι μὲν ποιήματα εἰς πᾶν μέτρον, συντάξαι δὲ καὶ καταλογάδην, πλεῖστα. καὶ ἔστιν αὐτῷ τὰ γεγραμμένα βιβλία ὑπὲρ τὰ ω. ἦν δὲ ἐπὶ τῶν χρόνων πτολεμαίου τοῦ φιλαδέλφου. πρὶν δὲ συσταθῇ τῷ βασιλεῖ, γράμματα ἐδίδασκεν ἐν ἐλευσῖνι κωμυδρίῳ τῆς ἀλεξανδρείας, καὶ παρέτεινε μέχρι τοῦ εὐεργέτου κληθέντος πτολεμαίου ὀλυμπιὰς δὲ ἦν ρκζ. ἧς κατὰ τὸ δεύτερον ἔτος ὁ εὐεργέτης πτολεμαῖος ἤρξατο τῆς βασι-

λείας. τῶν δὲ αὐτοῦ βιβλίων, ἔστι καὶ ταῦτα. ἰοῦς ἄφιξις. σεμέλη. ἄργους οἰκισμοί. ἀρκαδία. γλαῦκος. ἐλπίδες. σατυρικὰ δράματα. τραγῳδίαι. κωμῳδίαι. μέλη. ἶβις. ἔστι δὲ ποίημα ἐπιτετηδευμένον εἰς ἀσάφειαν, καὶ λοιδορίαν εἴς τινα ἶβιν. γενόμενον ἐχθρὸν τοῦ καλλιμάχου. ἦν δὲ οὗτος ἀπολλώνιος, ὁ γράψας τὰ ἀργοναυτικά. μουσεῖον. πίνακες τῶν ἐν πάσῃ παιδείᾳ διαλαμψάντων. καὶ ὧν συνέγραψαν ἐν βιβλίοις κ΄ καὶ ρ΄ πίναξ, καὶ ἀναγραφὴ τῶν κατὰ χρόνους, καὶ ἀπ᾿ ἀρχῆς γενομένων διδασκάλων. πίναξ τῶν δημοκρείτου γλωσσῶν, καὶ συνταγμάτων. μηνῶν προσηγορίαι κατὰ ἔθνος, καὶ πόλεις. κτίσεις νήσων, καὶ πόλεων, καὶ μετονομασίαι. περὶ τῶν ἐν εὐρώπῃ ποταμῶν. καὶ περὶ τῶν ἐν πελοποννήσῳ, καὶ ἰταλίᾳ θαυμασίων, καὶ παραδόξων. περὶ μετονομασίας ἰχθύων. περὶ ἀνέμων. περὶ ὀρνέων. περὶ τῶν ἐν τῇ οἰκουμένῃ ποταμῶν. θαυμάτων τῶν εἰς ἅπασαν τὴν γῆν κατὰ τόπους ὄντων συναγωγή.

Γένος Διονυσίου ἐκ τῶν Εὐσταθίου.

Ὁ δὲ διονύσιος, λίβυς μὲν ἱστορεῖται τὸ γένος, συγγράψαι δὲ καὶ ἄλλα βιβλία λέγεται, λιθιακά τε, καὶ ὀρνιθιακά, καὶ βασσαρικά, ὧν τὰ μὲν λιθιακά, ἐνεκρίθησαν καὶ αὐτὰ διὰ τὴν

τοῦ χαρακτῆρος ὁμοιότητα. τὰ δὲ βασαρικὰ διὰ τὴν τραχύτητα, οὐκ ἄξια τοῦτον κριθέντα, εἰς τὸν σάμιον ἀνήχθησαν διονύσιον. τὰ δὲ ὀρνιθιακὰ, εἰς ἄλλον τινὰ φιλαδελφέα διονύσιον, ὃν διὰ λέξεως ἀκυρολογίαν, ἐπιβάλλειν ὑπόκειται. τὸ δὲ παρὸν ποίημα ἱστορικὸν καλοῦσιν οἱ παλαιοὶ συγκείμενον ἐκ τοπικοῦ, καὶ πραγματικοῦ, καὶ χρονικοῦ, καὶ γενεαλογικοῦ, εἰς ἃ διαιρεῖσθαι τὴν ἱστορίαν φασίν· ἐκ μὲν τοπικοῦ, ὅτι καὶ ὁ πᾶς ἐνταῦθα τοῦ βιβλίου σκοπὸς τόπων γῆς ἐστι περιήγησις. πραγματικοῦ δὲ ἐν οἷς ἄλλα τέ τινα ἱστορεῖ, καὶ ἐθνῶν ἔθη ἐκτίθεται· χρονικοῦ δὲ, ὡς ὅτε καιροῦ μέμνηται, καθ' ὃν αὐτὸς περιῆν· ὅτι δηλαδὴ οὐκ ἐπὶ τῶν ὑπάτων, ἀλλ' ἐπὶ τῶν ἀνάκτων. γενεαλογικοῦ δὲ, οἷον ὅτε τοὺς σαυρομάτας ἐξ ἀμαζόνων εἴπη κατάγεσθαι, καὶ ἐκ δούλων τοὺς ἐπιζεφυρείους λοκρούς. οἱ δ' αὐτοὶ παλαιοὶ ἐπαινοῦσι καὶ τὸ προοίμιον τοῦ βιβλίου, ὡς τούτου τὰς ἐπιβαλλούσας ἔχον ἀρετάς. φασὶ γὰρ ὅτι ἀρεταὶ προοιμίων, περιοχή· προσοχή· καὶ συμπάθεια. ὧν ἡ μὲν περιοχὴ, τέλος ἔχει τοῦ προεκθέσθαι τὸν τοῦ ἑξῆς λόγου σκοπόν. ἡ δὲ προσοχὴ ἐπιστρέφει τὸν ἀκροατὴν, καὶ ὅλον εἶναι τοῦ ἔργου ποιεῖ. ἡ δὲ συμπάθεια, καὶ πρὸς συγγνώμην, καὶ πρὸς ἐπιείκειαν τοῦ λέγοντος προκαλεῖται τοὺς ἀκροατάς. καὶ διονύσιος εἶτω

φασι σκοπὸν τοῦ βιβλίου ἐν προοιμίῳ εἰπὼν, τὸ μέλλειν γαῖάν τε, καὶ εὐρέα πόντον ἀείδειν. προσοχήν τε ἐπιτείνει κινήσας τὸν τοῦ ἀκροατοῦ νοῦν ὡς ἐπὶ μεγάλῃ τῇ ὑποσχέσει οὔσῃ, ἀλλὰ καὶ περιοχὴν κεφαλαιώδη τοῦ ὅλου βιβλίου τούτῳ τῷ τρόπῳ ἐξέθετο. ἐν δὲ τῷ, ἀνδρῶν ἄκριτα φῦλα, συμπάθειαν ἐξεκαλέσατο, καὶ ἐφειλκύσατο, οἷα συγγνώμης τευξόμενος, εἴπερ που φανείη ἀσθενὴς, πρὸς τὴν τῶν οὕτω πολλῶν, καὶ ἀκρίτων ὑφήγησιν. πολὺ δὲ τὸ σαφὲς ἡ παροῦσα ποίησις ἔχει, καὶ μάλιστα τὸ εὐκρινὲς, ὡς προείρηται, οὐ μόνον διὰ τῶν ἐπαναλήψεων, καθάπερ ἔφαμεν καὶ τῶν συχνῶν συμπληρώσεων, ἀλλὰ καὶ διὰ τῶν πυκνῶν προεκθέσεων. ὅπου γε καὶ τόπους διδασκαλίας ὁ Διονύσιος ἐν πολλοῖς ἐκτίθεται δι' εὐκρίνειαν προλέγων, ὅτι τοιῶσδε τὸ διδασκαλεῖον προχειρίσεται. πολλαχοῦ δὲ καὶ προσέχειν προκαλεῖται τὸν ἀκροατὴν, ὡς ἂν μὴ ἐξυπτιάζων αὐτὸς, νομίζοι περιηγεῖσθαι τόπον ἀδιευκρίνητον. πολὺ δὲ καὶ τὸ κάλλος ἔχει τὸ συγγραμμάτιον τοῦτο, καὶ οὐδενὸς ὅλως ἀμοιρεῖ τῶν πολλῶν ποιητικῶν καλῶν τὸ μικρὸν τῆς ποιήσεως τοῦτο σωμάτιον. εἰ δέ τινας ἔχει καὶ κῆρας βραχυτάτας καθάπερ σῶμα καλὸν δοθιῆνάς τινας οὐ προφανεῖς τοῖς πολλοῖς, ἢ λειχῆνας προσεμπεφυκότας καὶ οὐκ ἐν καιρίῳ, ἀφ' ὧν ἥκιστα τὸ πολὺ τοῦ κάλλους ἀχρειοῦ-

ται, σκιπτέσθωσαν οἱ περίεργοι καὶ οὐ πάνυ φιλόκαλοι. ἡμεῖς δὲ οὐ μῦιαι τοῖς ἕλκεσιν ἐφιζάνουσαι, μέλισσαι δὲ τοῦ τῶν μουσῶν λειμῶνος τὸ κάλλιστον ἀπανθίζουσαι.

Καὶ ἄλλως ἐκ τῶν σουΐδα.

Διονύσιος βυζάντιος, ἐποποιός. περιήγησιν τοῦ ἐν τῷ βοσπόρῳ ἀνάπλου. περὶ θρήνων. ἔστι δὲ ποίημα μεστὸν ἐπικηδείων.

Γένος λυκόφρονος κατὰ κοινόν.

Λυκόφρων, τῷ μὲν γένει ἦν χαλκιδεύς, υἱὸς σωκλέους, ἢ λύκου τοῦ ἱστοριογράφου κατά τινας. ἦν δὲ εἷς τῶν ἑπτὰ ποιητῶν, οἵτινες διὰ τὸ ἑπτὰ εἶναι, τῆς πλειάδος ἐλέγοντο, ὧν τὰ ὀνόματα, θεόκριτος, ὁ τὰ βουκολικά. ἄρατος ὁ τὰ φαινόμενα γράψας, καὶ ἕτερα. νίκανδρος. αἰαντίδης, ἢ ἀπολλώνιος, ὁ τὰ ἀργοναυτικά. φίλικος. ὅμηρος, ὁ νέος τραγικός. ὁ ἀνδρομάχης βυζάντιος, ὃς δράματα ἐποίησε, μζ. καὶ οὗτος ὁ λυκόφρων. καὶ ἕτεροι μὴ εἰδότες, ἄλλους φασὶν εἶναι τῆς πλειάδος. ἦσαν δὲ οὗτοι ἐν χρόνοις πτολεμαίου τοῦ φιλαδέλφου, καὶ βερενίκης, οἱ παῖδες ἦσαν ἀμφότεροι πτολεμαίου τοῦ λάγω, καὶ βερενίκης, τῆς ἀντιγόνου θυγατρός. ηὐδοκίμει δὲ τότε ὁ λυκόφρων οὐ τοσοῦτον διὰ-

τὴν ποίησιν, ὅσον δὲ τὸ λέγειν ἀναγραμματι-
σμούς· οἷον, ὅτι πτολεμαῖος, ἀπὸ μέλιτος λέγει,
μεταγραμματιζόμενον· ἀρσινόη δὲ, ἥρας ἴον, καὶ
ὅμοια τοιαῦτα. οὗτος ὁ λυκόφρων τοῖς φιλανα
γνωστοῦσι τῶν νέων χαριζόμενος, τὸ παρὸν βι-
βλίον ἐξέθετο, ἱστοριῶν τινὰ χάνον ἀνάμεσον. τὰ
γὰρ ἀφ' ἡρακλέους καὶ τῶν τρωϊκῶν μέχρις ἀλεξάν
δρου τοῦ μακεδόνος καὶ κατωτέρω συντεμὼν πάν
τα γράφει· καὶ περὶ τὸ τέλος τοῦ βιβλίου ἀνα
τρέχει, καὶ κατ' ἐπιδρομὴν λέγει, καὶ τὴν ἁρπα
γὴν τῆς ἰοῦς τὴν παρὰ τῶν φοινίκων· ὅθεν καὶ
πόλεμος ἐρράγη βαρβάροις καὶ ἕλλησιν.

καὶ ἄλλως ἐκ τῶν σουΐδα.

Λυκόφρων χαλκιδεὺς, ἀπὸ εὐβοίας, υἱὸς σω-
κλέους· θέσει δὲ λύκου τοῦ ῥηγίνου· γραμματικὸς
καὶ ποιητὴς τραγῳδιῶν· ἔστι γοῦν εἷς τῶν ἑπτὰ, οἵ
τινες πλειὰς ὠνομάσθησαν. εἰσὶ δὲ καὶ τραγῳδίαι
αὐτοῦ, αἰόλος· ἀνδρομέδα· ἀλήθης· αἰολίδης·
ἐλεφήνωρ· ἡρακλῆς· ἱκέται· ἱππόλυτος· κασ-
σανδρεῖς· λάϊος· μαραθώνιοι· ναύπλιος· οἰδί-
πους α. β. ὀρφανός· πενθεύς· πελοπίδαι· σύμ
μαχοι· τηλέγονος· χρύσιππος. διασκευὴ δ' ἐστὶν
ἐκ τύπων ὁ ναύπλιος. ἔγραψε καὶ τὴν καλου
μένην ἀλεξάνδραν, τὸ σκοτεινὸν ποίημα.

ΠΙΝΔΑΡΟΥ ΟΛΥΜΠΙΟΝΙΚΑΙ.

ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΥΣΙΩι ΚΕΛΗΤΙ. α.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

στροφή.

ριστον μὲν ὕδωρ· ὁ δὲ
χρυσὸς αἰθόμενον πῦρ
ἄ ἅτε διαπρέπει νυ-
κτὶ μεγάνορος ἔξοχα πλούτου.
εἰ δ᾽ ἄεθλα γαρύεν
ἔλδεαι φίλον ἦτορ
μηκέτ᾽ ἀελίου σκόπει
ἄλλο θαλπνότερον
ἐν ἁμέρα φαεινὸν ἄστρον
ἐρήμας δι᾽ αἰθέρος.
μὴ δ᾽ ὀλυμπίας ἀγῶνα
φέρτερον αὐδάσομεν,
ὅθεν ὁ πολύφατος
ὕμνος ἀμφιβάλλεται
σοφῶν μητίεσι, κελαδεῖν
κρόνου παῖδ᾽ ἐς ἀφνεὰν ἱκομένους·
μάκαιραν ἱέρωνος ἑστίαν.
ἀντι- θεμιστεῖον ὃς ἀμφέπει
στρο- σκᾶπτρον ἐν πολυμάλῳ
φος. σικελίᾳ, δρέπων μὲν

κορυφὰς ἀρετᾶν ἄπο πασᾶν·
ἀγλαΐζεται δὲ καὶ
μουσικᾶς ἐν ἀώτῳ,
οἷα παίζομεν φίλαν
ἄνδρες ἀμφὶ θαμὰ
τράπεζαν· ἀλλὰ δωρίαν ἀ-
πὸ φόρμιγγα πασσάλου
λάμβαν'· εἴ τι τοι πίσας τε
καὶ φερενίκου χάρις
νόον ὑπὸ γλυκύτα-
ταις ἔθηκε φροντίσιν·
ὅτε παρ' ἀλφεῷ σύτο, δέμας
ἀκέντητον ἐν δρόμοισι παρέχων·
κράτει δὲ προσέμιξε δεσπόταν
ἐπω συρακόσιον ἱπποχάρμαν
δός. βασιλῆα· λάμπει
δέ οἱ κλέος παρ' εὐάνορι λυδοῦ
πέλοπος ἀποικίᾳ· τοῦ μεγασθενὴς
ἐράσατο γαιάοχος ποσειδᾶν,
ἐπεί νιν καθαροῦ λέβητος ἔξελε
κλωθὼ ἐλέφαντι φαίδιμον
ὦμον κεκαδμένον.
ἦ θαύματα πολλά·
καί που τι καὶ βροτῶν φάτις φρένα
ὑπὲρ τὸν ἀληθῆ λόγον
δεδαιδαλμένοι ψεύδεσι ποικίλοις

ἐξαπατῶντι μύθοι
στρο χάρις δ' ἅπερ ἅπαντα τεύ-
φή. χει τὰ μείλιχα θνατοῖς
β'. ἐπιφέροισα τιμὰν
καὶ ἄπιστον ἐμήσατο πιστὸν
ἔμμεναι τὸ, πολλάκις,
ἁμέραι δ' ἐπίλοιποι
μάρτυρες σοφώτατοι.
ἔστι δ' ἀνδρὶ φάμεν
ἐοικὸς ἀμφὶ δαιμόνων κα-
λά· μείων γὰρ αἰτία.
υἱὲ ταντάλου, σὲ δ' ἀντί-
α προτέρων φθέγξομαι·
ὁπότε κάλεσε πα-
τὴρ τὸν εὐνομώτατον
ἐς ἔρανον φίλαν τε σίπυλον
ἀμοιβαῖα θεοῖσι δεῖπνα παρέχων,
τότ' ἀγλαοτρίαιναν ἁρπάσαι
ἀντί δαμέντα φρένας ἱμέρῳ,
στρο χρυσέαισιν ἂν ἵπποις
φος. ὕπατον εὐρυτίμου
ποτὶ δῶμα διὸς μεταβᾶσαι.
ἔνθα δευτέρῳ χρόνῳ,
ἦλθε καὶ γαννυμήδης
ζηνὶ τωὖτ' ἐπὶ χρέος
ὡς δ' ἄφαντος ἔπε-

λὸν οὐδὲ ματρὶ πολλὰ μαιό-
μενοι φῶτες ἄγαγον,
ἔννεπε κρυφᾶ τις αὐτί-
κα φθονερῶν γειτόνων,
ὕδατος ὅτι τε πυ-
ρὶ ζέοισαν ἐπ' ἀκμαὶ
μαχαίρα τάμον κατὰ μέλη,
τραπέζαισί τ' ἀμφὶ δεύτατα κρεῶν
σέθεν διεδάσαντο καὶ φάγον.
ἐπω ἐμοὶ δ' ἄπορον γαστρίμαργον
δός. μακάρων τιν' εἰπεῖν
» ἀφίσταμαι· ἀκέρδεια λέλογ-
» χε θαμινὰ κακαγόρος· εἰ δὲ δή τιν' ἄν-
δρα θνατὸν Ὀλύμπου σκοποὶ ἐτίμα-
σαν, ἦν Τάνταλος οὗτος· ἀλλὰ γὰρ κατα-
πέψαι μέγαν ὄλβον οὐκ ἐδυ-
νάσθη· κόρῳ δ' ἕλεν
ἄταν ὑπέροπλον.
τάν οἱ πατὴρ ὑπερκρέμα-
σε καρτερὸν αὐτῷ λίθον.
τὸν ἀεὶ μενοινῶν κεφαλᾶς βαλεῖν
εὐφροσύνας ἀλᾶται.
στρο ἔχει δ' ἀπάλαμνον βίον
φὴ τοῦτον, ἐμπεδόμοχθον
γ'. μετὰ τριῶν τέταρτον
πόνον ἀθανάτων ὅτι κλέψαις.

ἁλίκεσι συμπόταις,
νέκταρ ἀμβροσίαν τε
δῶκεν. οἷσιν ἄφθιτον
ἔθεσαν αὐτόν. εἰ δὲ
" θεῶν ἀνήρ τις ἔλπεταί τι λαθέ-
" μεν ἔρδων, ἁμαρτάνει.
τοὔνεκα οἱ προῆκαν υἱ-
ὸν ἀθάνατοι πάλιν.
μετὰ τὸ ταχύποτμον
αὖθις ἀνδρῶν ἔθνος.
πρὸς εὐάνθεμον δ' ὅτε φυάν
λάχναι νιν μέλαν γένειον ἔρεφον
ἑτοῖμον ἀνεφρόντισε γάμον.
ἀντί πισᾶτα παρὰ πατρὸς εὔ-
στρο δοξον ἱπποδάμειαν
φος. σχεθέμεν. ἐγγὺς δ' ἐλθὼν
πολιᾶς ἁλὸς οἶος ἐν ὄρφνᾳ,
ἄπυεν βαρύκτυπον
εὐτρίαιναν. ὁ δ' αὐτῷ
πὰρ ποσὶ σχεδὸν φάνη
τῷ μὲν, εἶπε. φίλι-
α δῶρα κυπρίας ἄγ' εἴ τι
ποσείδαον ἐς χάριν
τέλλεται, πέδασον ἔγχος
οἰνομάου χάλκεον
ἐμὲ δ' ἐπὶ ταχυτά-

τῶν πόρευσον ἁρμάτων
ἐς Ἆλιν. κράτει δὲ πέλασον,
ἐπεὶ τρεῖς γε, καὶ δέκ' ἄνδρας ὀλέσαις
μναστῆρας, ἀναβάλλεται γάμον
ἐπω » θυγατρός. ὁ μέγας δὲ κίνδυ-
δὸς » νος, ἄναλκιν οὐ φῶ-
» τα λαμβάνει. θανεῖν δ' οἷσιν ἀνάγκα
» τί κέ τις ἀνώνυμον γῆρας ἐν σκότῳ
» καθήμενος ἕψοι μάταν ἁπάντων
» καλῶν ἄμμορος. ἀλλ' ἐμοὶ μὲν οὗτος ἄ-
εθλος ὑποκείσεται. τὺ δὲ
πρᾶξιν φίλαν δίδοι.
ὣς ἔννεπεν. οὐδ' ἀ-
κράντοις ἐφάψατ' ἔπε-
σι. τὸν μὲν ἀγάλλων θεὸς
ἔδωκεν δίφρον χρύσεον, ἐν πτεροῖ-
σιν τ' ἀκάμαντας ἵππους
στρο. ἕλεν δ' Οἰνομάου βίαν,
φή. παρθένον τε σύνευνον.
δ'. ἃ τέκε λαγέτας ἓξ
ἀρεταῖσι μεμαλότας υἱούς.
νῦν δ' ἐν αἱ μακουρείαις
ἀγλααῖσι μέμικται,
ἀλφεοῦ πόρῳ κλιθεὶς
τύμβον ἀμφίπολον
ἔχων πολυξενοτάτῳ πα-

ρὰ βωμῷ. τὸ δὲ κλέος
τηλόθεν δέδορκε τᾶν ὀ-
λυμπιάδων ἐν δρόμοις
πέλοπος. ἵνα ταχυ-
τὰς ποδῶν ἐρίζεται.
ἀκμαί τ' ἰσχύος θρασύπονοι.
ὁ νικῶν δὲ, λοιπὸν ἀμφὶ βίοτον
αὐτί ἔχει μελιτόεσσαν εὐδίαν
στρο ἀέθλων γ' ἕνεκεν. τὸ δ' ἀ-
φος. εἰ παράμερον ἐσθλὸν,
ὕπατον ἔρχεται παν-
τὶ βροτῶν, ἐμὲ δὲ στεφανῶσαι
κεῖνον ἱππείῳ νόμῳ
αἰοληΐδι μολπᾷ
χρή. πέποιθα δὲ ξένον
μή τιν' ἀμφότερα
καλῶν τε ἴδριν ἅμα καὶ δύ-
ναμιν κυριώτερον
τῶν γε νῦν, κλυταῖσι δαιδα-
λωσέμεν, ὕμνων πτυχαῖς
θεὸς ἐπίτροπος ἐ-
ὼν, τεαῖσι μήδεται
ἔχων τοῦτο κῆδος ἱέρων
μερίμναισιν. εἰ δὲ μὴ ταχὺ λίποι,
ἔτι γλυκυτέραν κεν ἔλπομαι
ἐπω σὺν ἅρματι θοῷ κλείζειν,
δός.

ἐπίκουρον εὑρὼν
ὁδὸν λόγων, παρ' εὐδείελον ἐλθὼν
κρόνιον. ἐμοὶ μὲν ὦν μοῖσα καρτερώ-
τατον, βέλος ἀλκᾷ τρέφει, ἐπ' ἄλλοι-
σι δ' ἄλλοι μεγάλοι. τὸ δ' ἔσχατον κορυ-
φοῦται βασιλεῦσι. μηκέτι
πάπταινε πόρσιον
εἴη σέ τε τοῦτον
ὑψοῦ χρόνον πατεῖν. ἐμέ
τε τοσσάδε νικαφόροις
ὁμιλεῖν, πρόφαντον σοφίᾳ καθ' ἕλ-
λανας ἐόντα παντᾷ.

ΘΗΡΩΝΙ ΑΚΡΑΓΑΝΤΙΝΩΙ ΑΡΜΑΤΙ. β΄.

στροφὴ α΄.

ναξιφόρμιγγες ὕμνοι.
ἀ τίνα θεὸν, τίν' ἥρωα,
τίν' ἄνδρα κελαδήσομεν.
ἤτοι πίσα μὲν διὸς
ὀλυμπιάδα δ' ἔστα-
σεν ἡρακλέης
ἀκρόθινα πολέμου.
θήρωνα δὲ τετραορίας
ἕνεκα νικαφόρου

γεγωνητέον ὀπὶ,
δίκαιον ξένον,
ἔρεισμ' ἀκράγαντος·
εὐωνύμων τε πατέρων
ἄωτον, ὀρθόπολιν·
ἀντί καμόντες οἳ πολλὰ θυμῷ
στρο ἱερὸν ἔσχον, οἴκημα
φος· ποταμοῦ· σικελίας τ' ἔσαν
ὀφθαλμὸς αἰὼν τ' ἔφε-
πε μόρσιμος, πλοῦτον
τε καὶ χάριν ἄγων
γνησίαις ἐπ' ἀρεταῖς.
ἀλλ' ὦ κρόνιε παῖ ῥέας,
ἕδος ὀλύμπου νέμων,
ἀέθλων τε κορυφάν·
πόρον τ' ἀλφεοῦ,
ἰανθεὶς ἀοιδαῖς,
εὔφρων ἄρουραν ἔτι πα-
τρίαν σφίσιν κόμισον
ἐπω λοιπῷ γένει· τῶν δὲ πεπραγμένων
δός. ἐν δίκα τε καὶ παρὰ δίκαν
ἀποίητον, οὐδ' ἂν
χρόνος ὁ πάντων πατὴρ
δύναιτο θέμεν ἔργων τέλος·
λάθα δὲ πότμῳ σὺν εὐδαίμονι γένοιτ' ἂν
ἐσθλῶν γὰρ ὑπὸ χαρμάτων

πῆμα θνάσκει παλίγκοτον δαμασθὲν,
στρο ὅταν θεοῦ μοῖρα πέμπη
φή. ἀνεκὰς ὄλβον ὑψηλὸν
β'. ἕπεται δὲ λόγος εὐθρόνοις
κάδμοιο κούραις· ἔπα-
θον αἳ μεγάλα· πένθος
δὲ πιτνεῖ βαρὺ
κρεσσόνων πρὸς ἀγαθῶν.
ζώει μὲν ἐν ὀλυμπίοις
ἀποθανοῖσα βρόμῳ
κεραυνοῦ τανυέθει-
ρα σεμέλα· φιλεῖ
δέ μιν παλλὰς αἰεί.
φιλέοντι δὲ μοῖσαι·
καὶ ζεὺς πατὴρ μάλα. φιλεῖ
δὲ παῖς ὁ κισσοφόρος.
ἀντί λέγοντι δ' ἐν καὶ θαλάσσᾳ
στρο μετὰ κόραισι νηρῆος
φος. ἁλίαις, βίοτον ἄφθιτον
ἰνοῖ τετάχθαι τὸν ὅ-
» λον ἀμφὶ χρόνον· ἤτοι
» βροτῶν γε κέκριται
» πείρας οὔτι θανάτου
» οὐδ' ἁσύχιμον ἁμέραν
» ὁπότε παῖδ' ἀλίου
» ἀτειρεῖ σὺν ἀγαθῷ

" τελευτάσομεν.
" ῥοαὶ δ' ἄλλοτ' ἄλλαι
" εὐθυμιῶν τε μέτα καὶ
" πόνων ἐς ἄνδρας ἔβαν·
ἐπω " οὕτω δὲ μοῖρ' ἅ τε πατρώϊον
δός. " τῶνδ' ἔχει τὸν εὔφρονα πότμον
" θεόρτῳ σὺν ὄλβῳ,
" ἐπί τι καὶ πῆμ' ἄγει
" πάλιν τράπελον ἄλλῳ χρόνῳ·
ἐξ οὗπερ ἔκτεινε λάϊον μόρσιμος υἱὸς
συναντόμενος· ἐν δὲ πυ-
θῶνι χρησθὲν παλαίφατον τέλεσεν
στρο ἰδοῖσα δ' ὀξεῖ' ἐριννύς·
φή· πέφνεν οἱ σὺν ἀλλαλο-
γ'· φονίᾳ γένος ἀρήϊον
λείφθη δὲ θέρσανδρος ἐ-
ριπέντι πολυνείκει
νέοις ἐν ἀέθλοις
ἐν μάχαις τε πολέμου
τιμώμενος, ἀδραστιδᾶν,
θάλος ἀρωγὸν δόμοις,
ὅθεν σπέρματος ἔχον-
τι ῥίζαν· πρέπει
τὸν αἰνησιδάμου
ἐγκωμίων τε μελέων
λυρᾶν τε τυγχανέμεν·

ἀντί ὀλυμπίᾳ μὲν γὰρ αὐτὸς
στρο γέρας ἔδεκτο. πυθῶνι
φος. δ' ὁμόκλαρον ἐς ἀδελφεὸν
ἰσθμοῖ τε, κοιναὶ χάρι-
τες ἄνθεα τεθρίππων
δυοδεκαδρόμων
ἄγαγον. τὸ δὲ τυχεῖν
πειρώμενον ἀγωνίας.
παραλύει δυσφρόνων
ὁ μὰν πλοῦτος ἀρεταῖς.
δεδαιδαλμένος,
φέρει τῶν τε καὶ τῶν
καιρὸν βαθεῖαν ὑπέχων
μέριμναν ἀγροτέραν.
ἐπω ἀστὴρ ἀρίζηλος. ἐτυμώτατον
δός. ἀνδρὶ φέγγος. εἰ δέ μιν ἔχει
τίς, οἶδε τὸ μέλλον.
ὅτι θανόντων μὲν ἐν-
θάδ' αὐτίκ' ἀπάλαμνοι φρένες
ποινὰς ἔτισαν. τὰ δ' ἐν τᾷδε διὸς ἀρχῇ
ἀλιτρὰ, κατὰ γᾶς δικά-
ζει τις, ἐχθρᾷ λόγον φράσαις ἀνάγκᾳ
στρο ἴσαις δ' ἐν νύκτεσιν αἰεὶ
φή. ἴσαις δ' ἐν ἀμέραις ἅλι-
δ'. ον ἔχοντες. ἀπονέστερον
ἐσθλοὶ νέμονται βίο-

τον, οὐ χθόνα ταράσον.
τες ἐν χερὸς ἀκμᾷ
οὐ δὲ πόντιον ὕδωρ
κεινὰν παρὰ δίαιταν. ἀλ-
λὰ παρὰ μὲν τιμίοις.
θεῶν οἵ τινες ἔχαι-
ρον εὐορκίαις,
ἄδακρυν νέμονται
αἰῶνα. τοὶ δ' ἀπροσόρα-
τον ὀκχέοντι πόνον
αὐτί ›› ὅσοι δ' ἐτόλμασαν ἐστρὶς
στρο ›› ἑκατέρωθι μείναντες
φος. ›› ἀπὸ πάμπαν ἀδίκων ἔχειν
›› ψυχὰν, ἔτειλαν διὸς
›› ὁδὸν παρὰ κρόνου τύρ-
›› σιν. ἔνθα μακάρων
›› νᾶσον ὠκεανίδες
›› αὖραι περιπνέουσιν ἄν-
›› θεμα δὲ χρυσοῦ φλέγει.
τὰ μὲν, χερσόθεν ἀπ' ἀ-
γλαῶν δενδρέων.
ὕδωρ δ' ἄλλα φέρβει
ὅρμοισι τῶν, χέρας ἀνα-
πλέκοντι καὶ στεφάνοις,
ἐπῳ βουλαῖς ἐν ὀρθαῖς ῥαδαμάνθυος.
δός. ὃν πατὴρ ἔχει γᾶς ἑτοῖ-

μον αὐτῷ πάρεδρον.
πόσις ὁ πάντων ῥέας
ὑπέρτατον ἐχοίσας θρόνον
πηλεύς τε καὶ κάδμος ἐν τοῖσιν ἀλέγονται
ἀχιλλέα τ' ἔνεικ', ἐπεὶ
ζηνὸς ἦτορ λιταῖς ἔπεισε μάτηρ.
στρο ὃς ἕκτορ' ἔσφαλε τροίας
φή. ἄμαχον ἀστραβῆ κίο-
ε. να. κύκνον τε θανάτῳ πόρεν,
ἀοῦς τε παῖδ' αἰθίο-
πα. πολλά μοι ὑπ' ἀγκῶ-
νος ὠκέα βέλη
ἔνδον ἐντὶ φαρέτρας
φωνάεντα συνετοῖσιν. ἐς
δὲ τὸ πὰν ἑρμηνέων
χατίζει. σοφὸς ὁ πολ-
λὰ εἰδὼς φυᾷ
μαθόντες δὲ, λάβροι
παγλωσία. κόρακες ὣς
ἄκραντα γαρύετον
ἀντί διὸς πρὸς ὄρνιχα θεῖον
στρο ἔπεχε νῦν σκοπῷ τόξον.
φος. ἄγε θυμὲ τίνα βάλλομεν,
ἐκ μαλθακᾶς αὖτε φρε-
νὸς εὐκλέας, ὀϊστοὺς
ἱέντες. ἐπί τι

ἀκράγαντι τανύσαις
αὐδάσομαι ἐνόρκιον
λόγον ἀλαθεῖ νόῳ,
η τεκεῖν μή τιν᾽ ἑκατόν
γ᾽ ἐτέων πόλιν
φίλοις ἄνδρα μᾶλλον
εὐεργέταν πραπίσιν, ἀ-
φθονέστερόν τε χέρα
ἐπω Θήρωνος· ἀλλ᾽ αἶνον ἐπίβα κόρος
δός. οὐ δίκᾳ συναντόμενος· ἀλ-
λαμάργων ὑπ᾽ ἀνδρῶν,
τὸ λαλαγῆσαι θέλων
κρούφιον τεθέμεν ἐσθλὸν καλοῖς
ἔργοις· ἐπεὶ ψάμμος ἀριθμὸν περιπέφευγεν
καὶ κεῖνος ὅσα χάρματ᾽ ἄλ-
λοις ἔθηκεν, τίς ἂν φράσαι δύναιτο·

ΤΩΙ ΑΥΤΩΙ ΕΙΣ ΘΕΟΞΕΝΙΑ.

στροφὴ. α΄.

Τυνδαρίδαις τε φιλοξείνοις ἁδεῖν
καλλιπλοκάμῳ θ᾽ Ἑλένᾳ,
κλεινὰν ἀκράγαντα γεραίρων, εὔχο
Θήρωνος ὀλυμπιονίκαν (μαι
ὕμνον ὀρθώσας, ἀκαμαντοπόδων
ἵππων ἄωτον

μοῖσα δ' οὕτω ποι παρέστα
μοι, νεοσίγαλον εὑρόν τι τρόπον·
δωρίᾳ φωνὰν ἐναρμόξαι πεδίλῳ
ἀντί ἀγλαόκωμον· ἐπεὶ χαίταισι μὲν
στρο ζευχθέντες ἐπι στέφανοι
φος. πράσσοντί με τοῦτο θεόδματον χρέος
φόρμιγγά τε ποικιλόγαρυν.
καὶ βοὰν αὐλῶν, ἐπέων τε θέσιν
αἰνησιδάμου
παιδὶ συμμίξαι πρεπόντως
ἅτε πίσα με γεγωνεῖν· τᾶς ἄπο
θεόμοροι νίσοντ' ἐπ' ἀνθρώπους ἀοιδαί·
ἐπω ᾧ τινι κραίνων ἐφετμὰς
δός. ἡρακλέος προτέρας
ἀτρεκὴς ἑλλανοδίκας, βλεφάρων·
αἰτωλὸς ἀνὴρ ὑψόθεν
ἀμφὶ κόμαισι βάλη γλαυ-
κόχροα κόσμον ἐλαίας· τάν ποτε
ἴστρου ἀπὸ σκιερᾶν παγᾶν ἔνεικεν
ἀμφιτρυωνιάδας
μνᾶμα τῶν οὐλυμπίᾳ κάλλιστον ἀέθλων,
στρο δᾶμον ὑπερβορέων πείσας ἀπόλ-
φή. λωνος θεράποντα· λόγῳ
β'. πιστὰ φρονέων, διὸς αἴτει πανδόκῳ
ἄλσει σκιερόν τε φύτευμα
ξυνὸν ἀνθρώποις, στέφανόν τ' ἀρετᾶς.

ἤδη

ἤδη γὰρ αὐτῷ
πατρὶ μὲν βωμῶν ἁγισθέν-
των, διχόμηνις ὅλον χρυσάρματος
ἑσπέρας ὀφθαλμὸν ἀντέφλεξε μήνα
ἀντί καὶ μεγάλων ἀέθλων ἁγνὰν κρίσιν
στρο. καὶ πενταετηρίδ' ἅμα
φος. θῆκε ζαθέοις ἐπὶ κρημνοῖς ἀλφεοῦ·
ἀλλ' οὐ καλὰ δένδρε' ἔθαλλεν
χῶρος ἐν βάσσαις κρονίου πέλοπος
τούτων ἔδοξεν
γυμνὸς αὐτῷ κᾶπος ὀξεί-
αις ὑπακουέμεν αὐγαῖς ἀλίου.
δὴ τότ' ἐς γαῖαν πορεύειν θυμὸς ὥρμα
ἐπω νιν ἰστριανήν· ἔνθα λατοῦς
δός. ἱπποσόα θυγάτηρ.
δέξατ' ἐλθόντ' ἀρκαδίας ἀπὸ δει-
ρᾶν, καὶ πολυγνάμπτων μυχῶν
εὖτέ μιν ἀγγελίαις εὐ-
ρυσθέος ἔντυ' ἀνάγκα πατρόθεν,
χρυσόκερων ἔλαφον θήλειαν ἄξον
θ' ἅν ποτε ταϋγέτα·
ἀντιθεῖσ' ὀρθωσίᾳ, ἔγραψεν ἱεράν
τὰν, μεθέπων, ἴδε καὶ κείναν χθόνα.
στρο πνοιαῖς ὄπιθεν βορέα
φή. ψυχροῦ. τόθι δένδρεα θαύμαινε σταθεὶς
γ'. τῶν νιν γλυκὺς ἵμερος ἔσχεν,

δωδεκάγναμπτον περὶ τέρμα δρόμου
ἵππων φυτεῦσαι.
καὶ νῦν ἐς ταύταν ἑορτάν.
ἵλαος ἀντιθέοισι νίσσεται
σὺν βαθυζώνου διδύμοισι παισὶ λήδας.
ἀντί τοῖς γὰρ ἐπέτρεπεν οὔλυμπον δ᾽ ἰών.
στρο θαητὸν ἀγῶνα νέμειν,
φος ἀνδρῶν τ᾽ ἀρετᾶς πέρι καὶ ῥιμφαρμάτου
διφραλασίας. ἐμὲ δ᾽ ὦν πα
θυμὸς ὀτρύνει φάμεν, ἐμμενίδαις
θήρωνί τ᾽ ἐλθεῖν
κῦδος, εὐίππων διδόντων
τυνδαριδᾶν· ὅτι πλείσταισι βροτῶν
ξενίαις αὐτοὺς ἐποίχονται τραπέζαις.
ἐπω εὐσεβεῖ γνώμᾳ φυλάσσον-
δός τες μακάρων τελετάς.
εἰ δ᾽ ἀριστεύει μὲν ὕδωρ, κτεάνων
δὲ χρυσὸς αἰδοιέστατον,
νῦν γε πρὸς ἐσχατιὰν θή-
ρων ἀρεταῖσιν ἱκάνων ἅπτεται
οἴκοθεν ἡρακλέος σταλᾶν. τὸ πόρσω
δ᾽ ἐστὶ σοφοῖς ἄβατον
κἀσόφοις. οὐ μιν διώξω, κεινὸς εἴην.

ΨΑΥΜΙΔΙ ΚΑΜΑΡΙΝΑΙΩΙ,
ΙΠΠΟΙΣ. δ'.

στροφή.

ε λατὴρ ὑπέρτατε βροντᾶς
ἀκαμαντόποδος
ζεῦ, τεαὶ γὰρ ὧραι,
ὑπὸ ποικιλοφόρμιγγος ἀοιδᾶς
ἑλισσόμεναί μ' ἔπεμψαν
ὑψηλοτάτων μάρτυρ' ἀέθλων·
" ξείνων δ' εὖ πρασσόντων, ἔσαναν
" αὐτίκ' ἀγγελίαν
" ποτὶ γλυκεῖαν ἐσθλοί.
ἀλλὰ κρόνου παῖ, ὃς αἴτναν ἔχεις
ἶπον ἀνεμόεσσαν ἑκατογ-
κεφάλα τυφῶνος ὀμβρίμου
ὀλυμπιονίκαν
δέξαι χαρίτων θ' ἕκα-
τι τόνδε κῶμον,
ἀντί χρονιώτατον φάος εὐρυ-
στρο σθενέων ἀρετᾶν.
φος. ψαύμιος γὰρ ἵκει
ὀχέων. ὃς ἐλαίᾳ στεφανωθεὶς
πισάτιδι, κῦδος ὄρσαι
σπεύδει καμαρίνᾳ. θεὸς εὔφρων
εἴη λοιπαῖς εὐχαῖς. ἐπεί μιν

αἰνέω μάλα μὲν
τροφαῖς ἑτοῖμον ἵππων,
χαίροντά τε ξενίαις πανδόκοις,
καὶ πρὸς ἡσυχίαν φιλόπολιν
καθαρᾷ γνώμᾳ τετραμμένον.
οὐ ψεύδεϊ τέγξω
" λόγον. διάπειρά τοι
" βροτῶν ἔλεγχος.
ἐπω ἅπερ καὶ Κλυμένοιο παῖδα
δός. Λαμνιάδων γυναικῶν
ἔλυσεν ἐξ ἀτιμίας.
χαλκέοισι δ' ἐν ἔντεσι νικῶν
δρόμον, ἔειπεν ὑψιπυλεία
μετὰ στέφανον ἰὼν,
οὗτος ἐγώ. ταχυτᾶτι
χεῖρες δὲ καὶ ἦτορ ἴσον.
" φύονται δὲ, καὶ νέοις
" ἐν ἀνδράσι πολιαὶ
" θαμὰ, καὶ παρὰ τὸν ἁλικίας
" ἐοικότα χρόνον.

ΤΩΙ ΑΥΤΩΙ ΑΓΗΝΗ ΚΑΙ
ΚΕΛΗΤΙ. ε.

στροφή.

ὑ. ψηλᾶν ἀρετᾶν, καὶ
στεφάνων ἄωτον γλυκὺν

τῶν ὀλυμπία,
ὠκεανοῦ θύγατερ
καρδία γελανεῖ·
ἀκαμαντόποδός τ᾽ ἀπήνας δέκευ,
ψαύμιός τε δῶρα.
ὃς τὰν σὰν πόλιν αὔξων
ἀντί καμαρίναν λαοτρόφον
στρο βωμοὺς ἓξ διδύ-
φος· μους γέραρεν, ἑορ-
ταῖς θεῶν μεγίσταις
ὑπὸ βουθυσίαις, ἀέθλων τε πεμ-
πταμέροις ἁμίλλαις,
ἐπω ἵπποις ἡμιόνοις τε μοναμπυκί-
δός. ᾳ τε. τὶν δὲ κῦδος
ἁβρὸν νικάσαις ἀνέθηκε· καὶ
ὃν πατέρ᾽ ἄκρων ἐκάρυξε. καὶ
τὰν νέοικον ἕδραν·
στρο ἵκων δ᾽ οἰνομάου, καὶ
φή· πέλοπος παρ᾽ εὐηράτων
β΄. σταθμῶν, ὦ πολι-
άοχε παλλάς· ἀεί-
δει μὲν ἄλσος ἁγνὸν
τὸ τεόν, ποταμόν τε ὤανον, ἐγ-
χωρίαν τε λίμναν,
ἀντί καὶ σεμνοὺς ὀχετούς· ἵπ-
στρ· παεις οἷσιν ἀρδει στρατὸν

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

κολλᾶ τε σταδί-
ων θαλάμων ταχέως
ὑψίγυον ἄλσος,
ἀπ' ἀμαχανίας ἄγων ἐς φάος
τόνδε δᾶμον ἀστῶν.
" ἐπω- αἰεὶ δ' ἀμφ' ἀρεταῖσι πόνος δαπά-
" δός. να τε μάρναται, πρὸς
" ἔργον κινδύνῳ κεκαλυμμένον·
" εὖ δ' ἔχοντες, σοφοὶ καὶ πολί-
" ταις ἔδοξαν ἔμμεν.
στρο- σωτὴρ ὑψινεφὲς ζεῦ,
φή· κρόνιόν τε ναίων λόφον,
γ'. τιμῶν τ' ἀλφεὸν
εὐρὺ ῥέοντ', ἰδαῖ-
όν τε σεμνὸν ἄντρον.
ἱκέτας σέθεν ἔρχομαι,
λυδίοις ἀπύων ἐν αὐλοῖς
ἀντί- αἰτήσων πόλιν εὐα-
στρο- νορίαισι τάνδε κλυταῖς
φος. δαιδάλλειν. σέ τ' ὀ-
λυμπιόνικε ποσει-
δανίοισιν ἵπποις
ἐπιτερπόμενον, φέρειν γῆρας εὔ-
θυμον ἐς τελευτὰν,
ἐπω- " υἱῶν ψαύμιν παρισταμένων. ὑγί-
δός. " εντα δ' εἴ τις ὄλβον·

„ ἄεθλα, ἰδ᾽ ἀρκέων κτεάτεσσι, καὶ
„ εὐλογίαν προστιθείς, μὴ ματεύ-
„ σῃ θεὸς γενέσθαι.

ΑΓΗΣΙΑι ΣΥΡΑΚΟΥΣΙΩι ΑΓΗ-ΝΗ ΥΙΩι ΣΩΣΤΡΑΤΟΥ.

Στροφή.

ρυσέας ὑποστάσαντες εὐ-
x τυχεῖ προθύρῳ θαλάμου
κίονας, ὡς ὅτε θαητὸν μέγαρον,
πάξομεν· ἀρχομένου δ᾽ ἔργου, πρόσωπον
χρὴ θέμεν τηλαυγές. εἰ
δ᾽ εἴη μὲν ὀλυμπιονίκας,
βωμῷ τε μαντείῳ ταμίας Διὸς ἐν
πίσα, συνοικιστήρ τε τᾶν κλεινᾶν συρα-
κοσσᾶν, τίνα κεν φύγοι ὕμνον
κεῖνος ἀνήρ, ἐπικύρσαις ἀφθόνων
ἀστῶν ἐν ἱμερταῖς ἀοιδαῖς.
ἀντί ἴστω γὰρ ἐν τούτῳ πεδί-
στρο λῳ δαιμόνιον πόδ᾽ ἔχων
φος „ σωστράτου υἱός. ἀκίνδυνοι δ᾽ ἀρεταί
„ οὔτε παρ᾽ ἀνδράσιν, οὔτ᾽ ἐν ναυσὶ κοίλαις
„ τίμιαι· πολλοὶ δὲ μέ-
„ μνανται, καλὸν εἴ τι πονασθῇ.
ἀγησία, τὶν δ᾽ αἶνος ἕτοιμος, ὃν ἐν

δίκα ἀπὸ γλώσσης ἄδρασος μάντιν οἰ-
κλείδαν ποτὶ ὁ ἀμφιάραον
φθέγξατ᾽· ἐπεὶ κατὰ γαῖ᾽ αὐτόν τέ νιν
καὶ φαιδίμας ἵππους ἔμαρψεν
ἐπω ἑπτὰ δ᾽ ἔπειτα πυρᾶν νεκρῶν τελε-
δός. σθέντων, ταλαϊονίδας
εἶπεν ἐν θήβαισι τοιοῦτόν τι ἔπος·
ποθέω στρατιᾶς
ὀφθαλμὸν ἐμᾶς ἀμφότερον·
μάντιν τ᾽ ἀγαθὸν
καὶ δουρὶ μάρνασθαι. τὸ, καὶ
ἀνδρὶ κώμου δεσπότᾳ,
πάρεστι συρακουσίῳ
οὔτε δύσηρις ἐὼν
οὔτ᾽ ὦν φιλόνεικος ἄγαν·
καὶ μέγαν ὅρκον ὀμόσσαις,
τοῦτό γέ οἱ σαφέως μαρτυρή-
σω. μελίφθογγοι δ᾽ ἐπιτρέψοντι μοῖσαι.
στρο ὦ φίντις. ἀλλὰ ζεῦξον ἤ-
φή. δη μοι σθένος ἡμιόνων
ᾇ τάχος. ὄφρα κελεύθῳ τ᾽ ἐν καθαρᾷ
βάσομεν ὄκχον. ἵκωμαί τε πρὸς ἀνδρῶν
καὶ γένος· κεῖναι γὰρ ἐξ
ἄλλαν, ὁδὸν ἁγεμονεῦσαι
ταύταν ἐπίστανται, στεφάνους ἐν ὀλυμ-
πίᾳ ἐπεὶ δέξαντο. χρὴ τοίνυν πύλας

ὕμνον ἀναπιτνάμεν αὐταῖς
πρὸς Πιτάναν δὲ παρ' Εὐρώτα πόρον
ἀντί δεῖ σάμερον ἐλθεῖν ἐν ὥρᾳ.
στρο ἅτοι Ποσειδάωνι μι-
φος χθεῖσα Κρονίῳ, λέγεται
παῖδ' ἰόπλοκον Εὐάδναν τεκέμεν.
κρύψαι δὲ παρθενίαν ὠδῖνα κόλποις.
κυρίῳ δ' ἐν μηνὶ πέμ-
ποισ' ἀμφιπόλους, ἐκέλευσεν
ἥρωϊ πορσαίνειν δόμεν Εἰλατίδᾳ
βρέφος· ὃς ἀνδρῶν Ἀρκάδων ἄνασσε Φαι
σάνᾳ. ἔλαχε τ' Ἀλφεὸν οἰκεῖν.
ἔνθα τραφεῖσ', ὑπ' Ἀπόλλωνι γλυκεί-
ας πρῶτον ἔψαυσ' Ἀφροδίτας.
ἐπω οὐδ' ἔλαθ' Αἴπυτον ἐν παντὶ χρόνῳ,
δός. κλέπτοισα θεοῖο γόνον.
ἀλλ' ὁ μὲν, Πυθῶνα δ' ἐν θυμῷ πιέσαις
χόλον οὐ φατὸν, ὀξείᾳ μελέτᾳ ᾤχετ' ἰὼν
μαντευσόμενος.
ταύτας πὲρ ἄτλά του πάθας.
ἁ δὲ φοινικόκροκον
ζώναν καταθηκαμένα
κάλπιδά τ' ἀργυρέαν,
λόχμας ὑπὸ κυανέας,
τίκτε θεόφρονα κοῦρον.
τᾷ μὲν, ὁ χρυσοκόμας πραΰμητιν

τελέθειν, παρέστασέν τε μοίρας.
στρο ἦλθε δ' ὑπὸ σπλάγχνων ὑπ' ὠ-
φή δῖνος τ' ἐρατᾶς ἴαμος
γ'. ἐς φάος αὐτίκα. τὸν μὲν, κνιζομένα
λεῖπε χαμαί· δύο δὲ γλαυκῶπες αὐτὸν
δαιμόνων βουλαῖσιν ἐ-
θρέψαντο δράκοντες· ἀμεμφεῖ
ἰῷ μελισσᾶν, καδόμενοι. βασιλεὺς
δ' ἐπεὶ πετραέσσας ἐλαύνων ἵκετ' ἐκ
πυθῶνος, ἅπαντας ἐν οἴκῳ
εἴρετο παῖδα τὸν, εὐάδνα τέκοι.
φοίβου γὰρ αὐτὸν φᾶ. γεγάκειν
ἀντί πατρός. περὶ θνατῶν δ' ἔσε-
στρο σθαι μάντιν ἐπιχθονίοις
φος. ἔξοχον. οὐδέ ποτ' ἐκλείψειν γενεάν.
ὣς ἄρα μάνυε. τοὶ δ' οὔτ' ὦν ἀκοῦσαι
οὔτ' ἰδεῖν εὔχοντο πεμπταῖον
γεγεναμένον· ἀλλ' ἐγ-
κέκρυπτο γὰρ σχοίνῳ βατείᾳ τ' ἐν ἀπει-
ράτῳ, ἴων ξανθαῖσι καὶ παμπορφύροις
ἀκτῖσι βεβρεγμένος ἁβρὸν
σῶμα· τὸ, καὶ κατεφάμιξε καλεῖ-
σθαί μιν χρόνῳ σύμπαντι μάτηρ
ἐπω τοῦτ' ὄνυμ' ἀθάνατον· τερπνᾶς δ' ἐπεὶ
δὸς. χρυσοστεφάνοιο λάβεν
καρπὸν ἥβας, ἀλφεῷ μέσσῳ καταβὰς,

ἐκάλεσε ποσει-
δᾶν' εὐρυβίαν ὃν πρόγονον·
καὶ τοξοφόρον
δάλου θεοδμάτας σκοπὸν,
αἰτέων λαοτρόφον
τιμάν τιν' ἑᾷ κεφαλᾷ,
νυκτὸς ὑπαίθριος. ἀν-
τεφθέγξατο δ' ἀρτιεπὴς
πατρία ὄσσα. μετάλλα-
σέν τέ μιν. ὄρσο τέκνον δεῦρο πάγ-
κοινον ἐς χῶρον ἴμεν φάμας ὄπισθεν.
στρο ἵκοντο δ' ὑψηλοῖο πέ-
φή. τραν ἀλίβατον κρονίου.
δ'. ἔνθα οἱ ὤπασε θησαυρὸν δίδυμον
μαντοσύνας, τόκα μὲν φωνὰν ἀκούειν
ψευδέων ἄγνωστον.
εὖτ' ἂν δὲ θρασυμάχανος ἐλθὼν
ἡρακλέης σεμνὸν θάλος ἀλκαϊδᾶν,
πατρί θ' ἑορτάν τε κτίσῃ πλειστόμβροτον
τεθμόν τε μέγιστον ἀέθλων,
ζηνὸς ἐπ' ἀκροτάτῳ βωμῷ, τότ' αὖ τοι
χρηστήριον θέσθαι κέλευσεν.
ἀντί ἐξ οὗ πολύκλειτον καθ' ἕλ-
στρο λανας γένος ἰαμιδᾶν
φος. ὄλβος δ' ἅμ' ἕσπετο. τιμῶντες δ' ἀρετὰς,
ἐς φανερὰν ὁδὸν ἔρχονται. τεκμαίρει

χρῆμ' ἕκαστον. μῶμος δ' ἐξ
ἄλλων κρέμαται φθονεόντων
τοῖς οἷς ποτε πρώτοις περὶ δωδέκατον
δρόμον ἐλαυνόντεσσιν αἰδοία ποτι
στάξει χάρις εὐκλέα μορφάν.
εἰ δ' ἐτύμως ὑπὸ κυλλάνας ὄροις
ἀγησία μάτρωες ἄνδρες
ἐπω ναιετάοντες, δώρησαν θεῶν
δός. κάρυκα λιταῖς θυσίαις
πολλὰ δὴ πολλαῖσιν ἑρμᾶν εὐσεβέως.
ὃς ἀγῶνας ἔχει.
μοῖραν τ' ἀέθλων, ἀρκαδίαν
τ' εὐάνορα τι-
μᾷ, κεῖνος ὦ παῖ σωστράτου,
σὺν βαρυγδούπῳ πατρί.
κραίνει σέθεν εὐτυχίαν.
δόξαν ἔχω τιν' ἐπὶ
γλώσσα, ἀκόνας λιγυρᾶς
ἅμ' ἐθέλοντα προσέρπει.
καλλιρόοισι πνοαῖς. ματρο-
μάτωρ ἐμὰ στυμφαλὶς εὐανθὴς μετώπα,
στρο πλάξιππον ἃ θήβαν ἔτι-
φή. κτεν. τᾶς ἐρατεινὸν ὕδωρ
πίομαι, ἀνδράσιν αἰχματαῖσι πλέκων
ποικίλον ὕμνον. ὄτρυνον νῦν ἑταίρους
αἰνέα, πρῶτον μὲν ἥ-

ραν παρθενίαν κελαδῆσαι
γνῶναι τ' ἔπειτ' ἀρχαῖον ὄνειδος ἀλα-
θέσι λόγοις, εἰ φεύγομεν βοιωτίαν
ὗν. ἐσσὶ γὰρ ἄγγελος ὀρθός.
ἠυκόμων σκυτάλα μοισᾶν. γλυκὺς
κρατὴρ ἀγαφθέγκτων ἀοιδᾶν.
αὐτί εἶπον δὲ μεμνᾶσθαι συρα-
στρο κοσάν τε καὶ ὀρτυγίασ.
φος. τὰν, ἱέρων καθαρῷ σκάπτρῳ διέπων
ἄρτια μηδόμενοσ, φοινικόπεζαν
ἀμφέπει δάματρα. λευ-
κίππου τε θυγατρὸς ἑορτὰν,
καὶ ζηνὸς αἰτναίου κράτος ἁδύλογοι
δέ μιν λύραι μολπαί τε γινώσκοντι. μὴ
θραύσοι χρόνος ὄλβον ἐφέρπων.
σὺν δὲ φιλοφροσύναις εὐηράτοις
ἀγησία δέξαιτο κῶμον.
ἐπω οἴκοθεν οἴκαδ' ἀπὸ στυμφαλίων
δός. τειχέων ποτινισσόμενον,
ματέρ' εὐμήλοιο λείποντ' ἀρκαδίασ.
ἀγαθαὶ δὲ πέλον-
τ' ἐν χειμερίᾳ νυκτὶ θοᾶς
ἐκ ναὸς ἀπε-
σκίμφθαι δύ' ἄγκυραι θεὸς
τῶν δ' ἐκείνων τε κλυτὰν
αἶσαν παρέχοι. φιλέων

δέασοτα ποντόμεδον.
εὔθυυ δὲ πλόον κυμάτων
ἐκτὸς ἐόντα δίδοι, χρύ-
σαλακάτοιο πόσις ἀμφὶ τεί-
τας ἐμῶν δ᾽ ὕμνων ἄεξ᾽ εὐτόρπις ἄνθος.

ΔΙΑΓΟΡΑΙ ΡΟΔΙΩΙ ΠΥΚΤΗΙ
ΝΙΚΗΣΑΝΤΙ ΤΗΝ οθ
ΟΛΥΜΠΙΑΔΑ.

Στροφή.
φιάλαν ὡς εἴ τις ἀ-
φνειᾶς ἀπὸ χειρὸς ἑλὼν
ἔνδον ἀμπέλου καχλάζοι-
σαν δρόσῳ, δωρήσεται
νεανίᾳ γαμβρῷ προπίνων,
οἴκοθεν οἴκαδε πάγ-
χρυσον κορυφὰν κτεάνων,
συμποσίου τε χάριν, κᾶδος τε τιμά-
σαις ἑὸν, ἐν δὲ φίλων
παρεόντων θῆκέ μιν ζα-
λωτὸν ὁμόφρονος εὐνᾶς,
αὐτί- καὶ ἐγὼ νέκταρ χυτὸν
στρο- μοισᾶν δόσιν ἀθλοφόροις
φος. ἀνδράσι πέμπων, γλυκὺν καρ-
πὸν φρενὸς, ἱλάσκομαι,

ὀλυμπίᾳ πυθοῖ τε νικών-
τεσσιν· ὁ δ' ὄλβιος, ὃν
φᾶμαι κατέχοντ' ἀγαθαί·
ἄλλοτε δ' ἄλλον ἐποπτεύει χάρις ζω-
θάλμιος, ἁδυμελεῖ
θ' ἅμα μὲν φόρμιγγι· παμφώ-
νοισί τ' ἐν ἔντεσιν αὐλῶν·
ἐπω καὶ νῦν ὑπ' ἀμφοτέρων
δός. σὺν διαγόρᾳ κατέβαν, τὰν ποντίαν
ὑμνέων παῖδ' ἀφροδίτας
ἀελίοιό τε νύμφαν
ῥόδον εὐθυμάχαν
ὄφρα πελώριον ἄνδρα, παρ' ἀλ-
φειῷ στεφανωσάμενον,
αἰνέσω πυγμᾶς ἄποινα·
καὶ παρὰ κασταλίᾳ,
πατέρα τε δαμάγητον ἁδόντα δίκᾳ.
ἀσίας εὐρυχόρου
τρίπολιν νᾶσον πέλας
ἐμβόλῳ ναίοντας, ἀργείᾳ σὺν αἰχμᾷ
στρο ἐθελήσω τοῖσιν ἐξ
φή. ἀρχᾶς ἀπὸ τλαπολέμου
β'. ξυνὸν ἀγγέλλων διορθῶ-
σαι λόγον, ἡρακλέος
εὐρυσθενεῖ γέννᾳ· τὸ μὲν γὰρ
πατρόθεν, ἐκ διὸς εὐ-

χονται· τὸ δ' ἀμυντορίδαι,
ματρόθεν ἀστυδαμείας. ἀμφὶ δ' ἀνθρώ-
πων φρεσὶν ἀμπλακίαι
ἀναρίθμητοι κρέμανται·
τοῦτο δ' ἀμάχανον εὑρεῖν,
ἀντί ὅ, τι νῦν ἐν καὶ τελευ-
στρο τᾷ φέρτατον, ἀνδρὶ τυχεῖν
φος. καὶ γὰρ ἀλκμήνας κασίγνη-
τον νόθον σκάπτῳ θένων
σκληρᾶς ἐλαίας, ἔκτανεν τί-
ρυνθι λικύμνιον, ἐλ-
θόντ' ἐκ θαλάμων μηδέας.
τᾶσδέ ποτε χθονὸς οἰκιστὴρ χολωθείς.
αἱ δὲ φρενῶν ταραχαὶ,
παρέπλαγξαν καὶ σοφόν. μαν-
τεύσατο δ' ἐς θεὸν ἐλθών.
ἐπω τῷ μὲν, ὁ χρυσοκόμας
δός. εὐώδεος ἐξ ἀδύτου ναῶν, πλόον
εἶπε λερναίας ἀπ' ἀκτᾶς
εὐθὺν ἐς ἀμφιθάλασσον
νομόν· ἔνθα ποτὲ
βρέχε θεῶν βασιλεὺς ὁ μέγας
χρυσιαῖσι νιφάδεσσι πόλιν·
ἀνίχ' ἀφαίστου τέχναισι
χαλκελάτῳ πελέκει
πατέρος ἀθηναία κορυφὰν κατ' ἄκραν
ἀνορούσαισ'

ἀνορούσαισ' ἀλάλα-
ξεν ὑπερμάκει βοᾷ·
οὐρανὸς δ' ἔφριξέ νιν καὶ γαῖα μάτηρ
τότε καὶ φαυσίμβροτος
δαίμων ὑπεριονίδας
μέλλον ἔντειλε φυλάξα-
σθαι χρέος παισὶ φίλοις,
ὡς ἂν θεᾷ πρῶτοι κτίσαιεν
βωμὸν ἐναργέα· καὶ
σεμνὰν θυσίαν θέμενοι,
πατρί τε θυμὸν ἰάναιεν, κόρᾳ τ' ἐγ-
χειβρόμῳ· ἐν δ' ἀρετὰν
ἔβαλε καὶ χάρματ' ἀνθρώ-
ποισι προμαθέος αἰδώς·
ἀντί ἐπὶ μὰν βαίνει τι καὶ
στρο λάθας ἀτέκμαρτον νέφος·
φος καὶ παρέλκει πραγμάτων
ὀρθὰν ὁδὸν ἔξω φρενῶν·
καὶ τοὶ γὰρ αἰθούσας ἔχοντες
σπέρμ' ἀνέβαν φλογὸς, οὔ-
τευξαν δ' ἀπύροις ἱεροῖς
ἄλσος ἐν ἀκροπόλει· κείνοισι μὲν ξαν-
θὰν ἀγαγὼν νεφέλαν Ζεὺς
πολὺν ὗσε χρυσόν· αὐτὰ
δέ σφισιν ὤπασε τέχναν·
ἐπω πᾶσαν ἐπιχθονίων

δός· γλαυκῶπις ἀριστοπόνοις χερσὶ κρατεῖν.
ἔργα δὲ ζωοῖσιν ἑρπόν-
τεσσί θ' ὁμοῖα κέλευθοι
φέρον· ἦν δὲ κλέος
βαθύ· δαέντι δὲ καὶ σοφία
μείζων ἄδολος τελέθει.
φαντὶ δ' ἀνθρώπων παλαιαὶ
ῥήσιες, οὔπω ὅτε
χθόνα δατέοντο Ζεύς τε, καὶ ἀθάνατοι,
φανερὰν ἐν πελάγει
ῥόδον ἔμμεν ποντίῳ.
ἁλμυροῖς δ' ἐν βένθεσιν νᾶσον κεκρύφθαι
ςρο ἀπεόντος δ' οὔτις ἐν-
φή δειξεν λάχος ἀελίου.
δ'. καὶ ῥά μιν χώρας ἀκλάρω-
τον λίπον ἁγνὸν θεόν.
μνασθέντι δὲ, Ζεὺς ἄμπαλον μέλ-
λεν θέμεν· ἀλλά μιν οὐκ
εἴασεν· ἐπεὶ πολιᾶς
εἶπέ τιν' αὐτὸς ὁρᾶν ἔνδον θαλάσσης
αὐξομέναν πεδόθεν
πολύβοσκον γαῖαν ἀνθρώ-
ποισι, καὶ εὔφρονα μήλοις.
αντί κέλευσεν δ' αὐτίκα
ςρο. χρυσάμπυκα μὲν λάχεσιν

φος. χεῖρας ἀντεῖναι, θεῶν δ' ὅρ-
κον μέγαν μὴ παρφάμεν.
ἀλλὰ κρόνου σὺν παιδὶ νεῦσαι.
φαεννὸν ἐς αἰθέρα μιν
πεμφθεῖσαν, ἑᾷ κεφαλᾷ
ἐξοπίσω γέρας ἔσσεσθαι. τελεύτα-
σαν δὲ λόγων κορυφαί.
ἐν ἀλαθείᾳ πετοῖσαι.
βλάστε μὲν ἐξ ἁλὸς ὑγρᾶς
ἔπω νᾶσος. ἔχει τέ μιν ὀ-
δός. ξειᾶν ὁ γενέθλιος ἀκτίνων πατὴρ,
πῦρ πνεόντων ἀρχὸς ἵππων
ἔνθα ῥόδῳ ποτὲ μιχθεὶς,
τέκεν ἑπτὰ, σοφώ-
τατα νοήματ' ἐπὶ προτέρων
ἀνδρῶν παραδεξαμένους,
παῖδας. ὧν εἷς μὲν κάμειρον
πρεσβύτατόν τε ἰα-
λυσὸν τέκεν, λίνδον τ'. ἀπάτερθε δ' ἔ-
χοντι διὰ γαῖαν τρίχα δα-
σάμενοι, πατρώαν
ἀστέων μοῖραν. κέκληνται δέ σφιν ἕδραι
ςϙο τόθι λύτρον συμφορᾶς
φὴ οἰκτρᾶς γλυκὺ τλαπολέμῳ
ἐ. ἵσταται τιρυνθίων ἀρ-
χαγέτᾳ, ὥσπερ θεῷ

μάλων τε κνισάεσσα πομπὰ,
καὶ κρίσις ἀμφ' ἀέθλοις·
τῶν, ἄνθεσι διαγόρας
ἐστεφανώσατο δίς. κλεινᾷ τ' ἐν ἰσθμῷ
τετράκις εὐτυχέων.
νεμέα τ' ἄλλαν ἐπ' ἄλλα. καὶ
κρανααῖς ἐν ἀθάναις·
ἀντί ὅ τ' ἐν ἄργει χαλκὸς
στρο ἔγνωμιν· τά τ' ἐν ἀρκαδίᾳ
φος. ἔργα· καὶ θήβαις. ἀγῶνές·
τ' ἐν νόμοι βοιωτῶν
πελλάνα τ' αἴγινά τε νικῶν
θ' ἑξάκις. ἐν μεγά-
ροισί τ' οὐχ ἕτερον λιθίνα
ψᾶφος ἔχει λόγον· ἀλλ' ὦ ζεῦ πάτερ, νώ-
τοισιν ἀταβυρίου
μεδέων, τίμα μὲν ὕμνου
τεθμὸν, ὀλυμπιονίκαν
ἐπω ἄνδρα τε, πὺξ ἀρετὰν
δός. εὑρόντα. δίδοι τέ οἱ αἰδοίαν χάριν,
καὶ ποτ' ἀστῶν καὶ ποτὶ ξεί-
νων. ἐπεὶ ὕβριος ἐχθρὰν
ὁδὸν εὐθυπορεῖ,
σάφα δαεὶς, ἅ τε οἱ πατέρων
ὀρθαὶ φρένες ἐξ ἀγαθῶν
ἔχραον· μὴ κρύπτε κοινὸν

σπέρμ' ἀπὸ καλλιάνα-
κτος· ἐρατιδᾶν τοι ξὺν χαρίτεσιν ἔχει
θαλίας καὶ πόλις· ἐν
δὲ μοίρᾳ μιᾷ χρόνου
ἄλλοτ' ἀλλοῖαι διαιθύσσουσιν αὖραι.

ΑΛΚΙΜΕΔΟΝΤΙ ΠΑΙΔΙ ΠΑ-
λαιστῇ· καὶ τιμοσθένει παλαιστῇ
νέμεα καὶ μελησίᾳ ἀλείπτῃ. η·

Στροφή.

ᾶτερ ὦ χρυσοστεφάνων
μ ἀέθλων ὀλυμπία
δέσποιν' ἀλαθείας· ἵνα μάντιες ἄν-
ἐμπύροις τεκμαιρόμενοι, παραπει- (δρες
ρῶνται διὸς ἀργικεραύνου,
εἴ τιν' ἔχει λόγον ἀνθρώπων πέρι
μαιομένων μεγάλαν
ἀρετὰν θυμῷ λαβεῖν,
τῶν δὲ μόχθων ἀμπνοάν·
ἀντί ἄνεται δὲ πρὸς χάριν εὐ-
στρο σεβείας ἀνδρῶν λιταῖς
φος ἀλλ' ὦ πίσας εὔδενδρον ἐπ' ἀλφεῷ ἄλσος
τόνδε κῶμον καὶ στεφανοφορίαν
δέξαι· μέγα τοι κλέος αἰεὶ
ᾧ τινι σὸν γέρας ἕσπετ' ἀγλαόν.

›› ἄλλα δ' ἐπ' ἄλλον ἔβαν
›› ἀγαθῶν· πολλαὶ δ' ὁδοὶ
›› σὺν θεοῖς εὐπραγίας
ἐπῳ τιμόσθενες, ὔμμε δ' ἐκλάρωσε πότμος
δός· ζηνὶ γενεθλίῳ· ὃς σὲ μὲν
ἐν νεμέᾳ πρόφαντον,
ἀλκιμέδοντα δὲ παρ κρόνου λόφῳ
θῆκεν ὀλυμπιονίκαν.
ἦν δ' ἐσορᾶν καλός· ἔργῳ
τοὐ κατ' εἶδος ἐλέγχων.
ἐξένεπε κρατέων
πάλα, δολιχήρετμον αἴγιναν πάτραν
ἔνθα σώτειρα διὸς ξενίου
πάρεδρος ἀσκεῖται θέμις
στρο ἔξοχ' ἀνθρώπων. ὅτι γὰρ
φή· πολὺ καὶ πολλὰ ῥέπει,
β'· ὀρθᾷ διακρίνειν φρενὶ μὴ παρὰ καιρὸν,
δυσπαλές. τεθμὸς δέ τις ἀθανάτων·
καὶ τάν δ' ἁλιερκέα χώραν
παντοδαποῖς ὑπέστασε ξένοις
κίονα δαιμονίαν,
ὁ δ' ἐπαντέλλων χρόνος
τοῦτο πράσσων μὴ κάμοι.
ἀντί δωριεῖ λαῷ ταμιευ-
στρο ομέναν ἐξ αἰακοῦ.
φος· τὸν, παῖς ὁ λατοῦς εὐρυμέδων τε ποσειδᾶν

ἰλίῳ μέλλοντες ἐπὶ στέφανον
τεῦξαι, καλέσαντο συνεργὸν
τεῖχος· ἦν ὅτι νιν πεπρωμένον,
ὀρνυμένων πολέμων
πτολιπόρθοις ἐν μάχαις,
λάβρον ἀμπνεῦσαι καπνόν.
ἐπω γλαυκοὶ δὲ δράκοντες ἐπεὶ κτίσθη νέον.
δός· πύργον ἐσαλλόμενοι τρεῖς,
οἱ δύο μὲν κάπετον.
αὖθι δ' ἀτιζόμενοι ψυχὰς βάλον
εἷς δ' ἐσόρουσε βοάσας.
ἔννεπε δ' ἀντίον ὁρμαί-
νων τέρας εὐθὺς ἀπόλλων.
πέργαμος ἀμφὶ τεαῖς
ἥρως χερὸς ἐργασίαις ἁλίσκεται
ὡς ἐμοὶ φάσμα λέγει κρονίδα
πεμφθὲν βαρυγδούπου διός.
στρο οὐκ ἄτερ παίδων σέθεν. ἀλ-
φή· λ' ἅμα πρώτοις ἄρξεται
γ'. καὶ τετράτοις· ὡς ἄρα θεὸς σάφα εἴπας.
ξάνθον ἤπειγεν, καὶ ἀμαζόνας εὐ-
ίππους, καὶ ἐς ἴστρον ἐλαύνων.
ὀρσοτρίαινα δ' ἐπ' ἰσθμῷ ποντίᾳ
ἅρμα θοὸν τάνυεν.
ἀποπέμπων αἰακὸν
δεῦρ' ἀν' ἵπποις χρυσέαις,

ἀντί καὶ Κορίνθου δειρὰν ἐπο-
στρο ψόμενος δαῖτα κλυτάν.
φος. τερπνὸν δ' ἐν ἀνθρώποις ἴσον ἔσσεται οὐδέν.
εἰ δ' ἐγὼ Μελησίᾳ ἐξ ἀγενεί-
ων κῦδος ἀνέδραμον ὕμνῳ,
μὴ βαλέτω με λίθῳ τραχεῖ φθόνος.
καὶ Νεμέᾳ γὰρ ὁμῶς
ἐρέω ταύταν χάριν.
τὰν δ' ἔπειτ' ἀνδρῶν μάχαν
ἐπω ἐκ παγκρατίου. τὸ διδάξασθαι δέ τοι
δός. εἰδότι ῥᾴτερον. ἄγνω-
μον δὲ τὸ μὴ προμαθεῖν.
κουφότεραι γὰρ ἀπειράτων φρένες.
κεῖνα δὲ κεῖνος ἂν εἴποι
ἔργα περαίτερον ἄλλων,
τίς τρόπος ἄνδρα προβάσει,
ἐξ ἱερῶν ἀέθλων
μέλλοντα ποθεινοτάταν δόξαν φέρειν.
νῦν μὲν αὐτῷ γέρας Ἀλκιμέδων,
νίκαν τριακοστὰν ἑλών.
στρο ὃς τύχᾳ μὲν δαίμονος ἀ-
φή. νορέας δ' οὐκ ἀμπλακών.
δ'. ἐν τέτρασι παίδων ἀπεθήκατο γυίοις
νόστον ἔχθιστον, καὶ ἀτιμοτέραν
γλῶσσαν, καὶ ἐπίκρυφον οἶμον.
πατρὶ δὲ πατρὸς ἐνέπνευσε μένος

γήραος ἀντίπαλον.
ἀΐδαο λάθεται.
ἄρμενα πράξαις ἀνήρ.
ἀντί ἀλλ' ἐμὲ χρὴ μναμοσύναν
στρο ἀνεγείροντα. φράσαι
φος. χειρῶν ἄωτον βλεψιάδαις ἐπίνικον
ἕκτος οἷς ἤδη στέφανος περίκει-
ται, φυλλοφόρων ἀπ' ἀγώνων
ἔστι δὲ καί τι θανόντεσσι μέρος,
κὰν νόμον ἐρδόμενον
κατακρύπτει δ' οὐ κόνις
συγγόνων κεδνὰν χάριν
ἐπω ἑρμᾶ δὲ θυγατρὸς ἀκούσαις ἰφίων
δός. ἀγγελίας, ἐνέποι, κεν
καλλιμάχῳ λιπαρὸν
κόσμον ὀλυμπία, ὅν σφιν ζεὺς γένει
ὤπασεν ἐσλὰ δ' ἐπ' ἐσλοῖς
ἔργα θέλοι δόμεν. ὀξεί-
ας δὲ νόσους ἀπαλάλκοι,
εὔχομαι ἀμφὶ καλῶν
μοίρα νέμεσιν διχόβουλον μὴ θέμεν.
ἀλλ' ἀπήμαντον ἄγων βίοτον,
αὐτούς τ' ἀέξοι καὶ πόλιν.

ΕΦΑΡΜΟΣΤΩι ΟΠΟΥΝΤΙΩι ΠΑΛΑΙΣΤΗι.

Στροφή.

ὁ μὲν ἀρχιλόχου μέλος
τ φωνᾶεν ὀλυμπία
καλλίνικος ὁ τρίπλοος κεχλαδὼς
ἄρκεσε κρόνιον παρ' ὄ-
χθον ἁγεμονεῦσαι. κωμάζοντι
φίλοις ἐφαρμόστῳ σὺν ἑταίροις
ἀλλὰ νῦν ἑκαταβόλων
μοισᾶν ἀπὸ τόξων.
δία τε φοινικοστερόπαν
σεμνόν τ' ἐπίνειμαι
ἀκρωτήριον ἄλιδος,
τοιοῖσδε μέλεσιν.
τὸ, δή ποτε λυδὸς ἥρως
πέλοψ ἐξάρατο, κάλλι-
στον ἕδνον ἱπποδαμείας.
αὐτί πτερόεντα δ' ἵει γλυκὺν
στρο πυθῶνάδ' οἰστόν. οὔ-
φος. τοι χαμαιπετέων λόγων ἐφάψαι.
ἀνδρὸς ἀμφὶ παλαίσμασιν
φόρμιγγ' ἐγκελίζων
κλεινᾶς ἐξ ὀπόεντος. αἰ-
νήσαις ἑκαὶ υἱόν.

ἂν Θέμις θυγάτηρ τέ οἱ
σώτειρα λέλογχεν
μεγαλόδοξος εὐνομία·
θάλλει δ' ἀρεταῖσι ἴ-
σον τε κασταλία, παρ' ἀλ-
φειοῦ τε ῥέεθρον·
ὅθεν στεφάνων ἄωτοι
κλυτὰν λοκρῶν ἐπαείρον-
ἐπω- τι ματέρ' ἀγλαόδενδρον
δός. ἐγὼ δέ τοι φίλαν πόλιν
μαλεραῖς ἐπιφλέγων ἀοιδαῖς·
καὶ ἀγάνορος ἵππου θᾶσσον
καὶ ναὸς ὑποπτέρου, πάντα
ἀγγελίαν πέμψω ταύταν
εἰ σύν τινι μοιριδίῳ παλάμᾳ
ἐξαίρετον χαρίτων νέμομαι
κᾶπον· κεῖναι γὰρ ὤπασαν
τὰ τερπνά· ἀγαθοὶ δὲ
καὶ σοφοὶ κατὰ δαίμον' ἄνδρες
στρο- ἐγένοντ'· ἐπεὶ ἀν-
φή. τ' ἂν πῶς ἂν τριόδοντος ἡ-
β'. ρακλέης σκύταλον τίναξε χερσὶν,
ἁνίκ' ἀμφὶ πύλον σταθεὶς
ἤρειδε ποσειδάν.
ἤρειδε τέ μιν ἀργυρέῳ
τόξῳ πολεμίζων

Φοῖβος. οὐδ' Ἀΐδας ἀκινή-
ταν ἔχε ῥαύδον,
βρότεα σώμαθ' ᾇ κατάγει
κοίλαν πρὸς ἀγυιὰν
θνασκόντων. ἀπό μοι λόγον
τοῦτον στόμα ῥῖψον.
ἐπεὶ τό γε λοιδορῆσαι
θεούς, ἐχθρὰ σοφία. καὶ
τὸ καυχᾶσθαι παρὰ καιρὸν
ἀντί μανίαισιν ὑποκρέκει
στρο μὴ νῦν λαλάγει τὰ τοι.
φος. αῦτ' ἔα πόλεμον μάχαν τε. πᾶσαν
χωρὶς ἀθανάτων. φέροις
δὲ πρωτογενείας
ἄστει γλῶσσαν. ἵν' αἰολο-
βρόντα Διὸς αἴσᾳ
Πύῤῥα Δευκαλίων τε Παρ-
νασοῦ καταβάντε,
δόμον ἔθεντο πρῶτον. ἄτερ
δ' εὐνᾶς ὁμόδαμον
κτησάσθαν λίθινον γόνον
λαοὶ δ' ὀνόμασθεν.
ἔγειρ' ἐπέων σφιν οἶμον
λιγύν. αἴνει δὲ παλαιὸν
μὲν οἶνον. ἄνθεα δ' ὕμνων
ἐπω νεωτέρων. λέγοντι μὰν

δὸς. χθόνα μὲν κατακλύσαι μέλαιναν
ὕδατος σθένος· ἀλλὰ ζηνὸς
τέχναις ἄμπωτιν ἐξαίφνας
ἄντλον ἑλεῖν· κείνων δ' ἔσαν
χαλκάσπιδες ὑμέτεροι πρόγονοι
ἀρχᾶθεν, ἰαπετιονίδος
φύτλας, κοῦροι κουρᾶν καὶ
φερτάτων κρονιδᾶν, ἐγ-
χώριοι βασιλῆες αἰεὶ
πρὶν ὀλύμπιος ἁγεμὼν
φή. θύγατρ' ἀπὸ γᾶς ἐπει-
γ'. ῶν ὀπόεντος ἀναρπάσαις ἕκαλος,
μίχθη μαιναλίαισιν ἐν-
δειραῖς. καὶ ἔνεικεν
λοκρῷ, μὴ καθέλοι μιν αἰ-
ὼν, πότμον ἐφάψαις,
ὀρφανὸν γενεᾶς. ἔχεν
δὲ σπέρμα μέγιστον
ἄλοχος. εὐφράνθη τε ἰδὼν
ἥρως θετὸν υἱὸν
μάτρωος δ' ἐκάλεσσέ μιν
ἰσώνυμον ἔμμεν
ὑπέρφατον ἄνδρα μορφᾷ
τε καὶ ἔργοισι. πόλιν δ' ὤ-
πασε λαόν τε διαιτᾶν.
ἀντί. ἀφίκοντο δέ οἱ ξένοι

στρο ἐκτ᾽ ἄργεος, ἐκ τε θη-
φος. βᾶν δ᾽ ἀρκάδες, οἱ δὲ καὶ πισᾶται.
υἱὸν δ᾽ ἄκτορος ἐξόχως
τίμασεν ἐποίκων
αἰγίνας τε μενοίτιον.
τοῦ παῖς, ἅμ᾽ ἀτρείδαις
τεύθραντος πεδίον μολὼν,
ἔστα σὺν ἀχιλλεῖ
μόνος, ὅτ᾽ ἀλκάεντας δαναοὺς
τρέψαις ἁλίαισιν
πρύμναις τήλεφος ἔβαλεν
ὥστ᾽ ἔμφρονι δεῖξαι
μαθεῖν πατρόκλου βιοτὰν
νόον. ἐξ οὗ θέτιος γόνος
οὐλίῳ νιν ἐν ἄρει
ἐπω παραγορεῖτο, μή ποτε
δός. σφετέρας ἄτερθε ταξιοῦσθαι
δαμασιμβρότου αἰχμᾶς. εἴην
εὑρεσιεπὴς ἀναγεῖσθαι
πρόσφορος ἐν μοισᾶν δίφρῳ.
τόλμα δὲ καὶ ἀμφιλαφὴς δύναμις
ἕσποιτο. ἀεὶ προξενίᾳ δ᾽ ἀρετᾷ
τ᾽ ἦλυθον τιμάορος ἰσθμίαι-
σι λαμπρομάχου μί-
ταις, ὅτ᾽ ἀμφότεροι κράτησαν
στρο μίαν ἔργον ἀν᾽ ἁμέραν

φή. ἄλλαι δὲ δύ᾽ ἐν κορίν-
δ'. θου πύλαις ἐγένοντ᾽ ἔπειτα χάρμαι
ταὶ δὲ καὶ νεμέας ἐφαρ-
μόστῳ κατὰ κόλπον.
ἄργει τ᾽ ἔσχεθε κῦδος ἀν-
δρῶν. παῖς δ᾽ ἐν ἀθάναις
οἷον δ᾽ ἐν μαραθῶνι συ-
λαθεὶς ἀγενείων,
μένεν ἀγῶνα πρεσβυτέρων
ἀμφ᾽ ἀργυρίδεσσιν.
φῶτας δ᾽ ὀξυρεπεῖ δόλῳ
ἀπτῶτι δαμάσαις,
διήρχετο κύκλον ὅσσᾳ
βοᾷ ὡραῖος ἐὼν καὶ
καλὸς, κάλλιστά τε ῥέξαις.
ἀντί τὰ δὲ παῤῥασίῳ στρατῷ
στρο θαυμαστὸς ἐὼν φάνη
φος. ζηνὸς ἀμφὶ πανάγυριν λυκαίου
καὶ ψυχρᾶν ὁπότ᾽ εὐδια-
νὸν φάρμακον αὔραν
πελλάνᾳ φέρε. σύνδικος
δ᾽ αὐτῷ ἰολάου
τύμβος. ἐναλία τ᾽ ἐλευ-
σὶς ἀγλαΐαισιν. μέμικται
τὸ δὲ φυᾷ κράτιστον ἅπαν.
πολλοὶ δὲ διδακταῖς

ἀνθρώπων ἀρεταῖς, κλέος
ὤρουσαν ἀνέεσθαι.
ἄνευθε δὲ θεοῦ, σεσιγα-
μένον οὐ σκαιότερον χρῆ-
μ᾽ ἕκαστον. ἐν τί γὰρ ἄλλαι
ἐπω ὁδῶν ὁδοὶ περαίτεραι
δός. μία δ᾽ οὐχ ἅπαντας ἄμμε θρέψει
μελέτα. σοφίαι μὲν αἰπειναί.
τοῦτο δὲ προσφέρων ἄεθλον
ὄρθιον ὤρυσαι θαρσέων
τόν δ᾽ ἄνδρα δαιμονίᾳ γεγάμεν
εὔχειρα, δεξιόγυιον, ὁρῶν
τ᾽ ἀλκάν. αἰαντειόντ᾽ ἐνδαι-
τὶ ὅστ᾽ ἰλιάδα νι-
κῶν ἐπεστεφάνωσε βωμόν.

ΑΓΗΣΙΔΑΜΩι ΛΟΚΡΩι ΕΠΙΖΕΦΥΡΙΩι ΑΡΧΕΣΤΡΑΤΟΥ ΠΑΙΔΙ ΠΥΚΤΗι.

Στροφή.

ὃν ὀλυμπιονίκαν ἀνάγνωτέ μοι
τ. ἀρχεστράτου παῖδα πόθι φρενὸς
ἐμᾶς γέγραπται. γλυκὺ γὰρ αὐτῷ
μέλος ὀφείλων ἐπιλέλαθ᾽. ὦ
μοῖσ᾽ ἀλλὰ σὺ καὶ θυγάτηρ
ἀλάθεια

ἀλάθεια διός.
ὀρθᾷ χερὶ ἐρύκετον ψευδέων
ἐνιπὰν ἀλιτόξενον.
ἀντί ἕκαθεν γὰρ ἐπελθὼν ὁ μέλλων χρόνος,
στρο ἐμὸν καταισχύνει βαθὺ χρέος
φος. ὅμως δὲ λῦσαι δυνατὸς ὀξεῖ-
αν ἐπιμομφὰν τόκος θνατῶν
νῦν ψᾶφον ἐλισσομέναν
ὅπα κῦμα κατα-
κλύσσει ῥέον. ὅπα τε κοινὸν λόγον
φίλαν τίσομεν ἐς χάριν.
ἐπω νέμει γὰρ ἀτρέκειαν πόλιν λοκρῶν
δός. αὐθὶ ζεφυρίων. μέλει τέ σφισι καλλιόπα
καὶ χάλκεος ἄρης. τράπε δὲ κυκνεία
μάχα καὶ ὑπέρβιον ἡρακλέα. πύκτας
δ᾽ ἐν ὀλυμπιάδι νικῶν ἰόλα φερέτω χά-
ἀγησίδαμος. ὡς ἀχιλλεῖ πάτροκλος (ριν
θήξαις δέ κε φῶτ᾽ ἀρετᾷ. ποτὶ
πελώριον ὁρμᾶσαι κλέος, ἀ-
νὴρ θεοῦ σὺν παλάμᾳ.
στρο ἄπονον δ᾽ ἔλαβον χάρμα παῦροι τινὲς
φὴ ἔργον πρὸ πάντων βιότω φάος.
β΄. ἀγῶνα δ᾽ ἐξαίρετον ἀεῖσαι
θέμιτες ὦρσαν διός. ὃν ἀρχαί-
ῳ σάματι πὰρ πέλοπος
βωμὸν ἐξαρίθμον ἡρακλέης.

ἐκτίσσατο. ἐπεὶ ποσειδάνιον
πέφνε κτέατον ἀμύμονα
ἀντί πέφνε δ' εὔρυτον ὡς αὐγέαν λάτριον
στρο ἀέκονθ' ἑκὼν μισθὸν ὑπέρβιον
φος. πράσσοιτο. λόχμαισι δὲ δοκεύσαις.
ὑπὸ κλεωναῖ, δάμασε καὶ κεί-
νους ἡρακλέης ἐφ' ὁδῷ
ὅτι πρόσθε ποτὲ
τιρύνθιον ἔπερσαν αὐτῷ στρατὸν
μυχοῖς ἥμενον ἄλιδος
ἐπω μολίονες ὑπερφίαλοι καὶ μὰν
δός. ξειναπάτας ἐπειῶν βασιλεὺς ὄπιθεν
οὐ πολλὸν εἶδε πατρίδα πολυκτέανον
ὑπὸ στερεῷ πυρὶ πλαγαῖς τε σιδάρου.
βαθὺν εἰς ὀχετὸν ἄτας ἵζοισαν ἑὰν πόλιν
νεῖκος δὲ κρεσσόνων ἀποθέσθ' ἄπορον
κἀκεῖνος ἀβουλίαις ὕστατος
ἁλώσιος ἀντιάσαις, θάνατον
αἰπὺν οὐκ ἐξέφυγεν.
στρο ὁ δ' ἄρ' ἐν πίσᾳ ἔλσαις ὅλον τε στρατὸν
φή λείαν τε πᾶσαν διὸς ἄλκιμος
γ'. υἱὸς, σταθμᾶτο ζάθεον ἄλσος
πατρὶ μεγίστῳ. περὶ δὲ πάξαις,
ἄλτιν μὲν ὅγ' ἐν καθαρῷ
διέκρινε. τὸ δὲ
κύκλῳ πέδον ἔθηκε δόρπου λύσιν,

τιμάσαις πόρον ἀλφεοῦ
ἀντί μετὰ δώδεκ' ἀνάκτων θεῶν· καὶ πάγον
στρο κρόνου προσεφθέγξατο· πρόσθε γὰρ
φος. νώνυμον, ἇς οἰνόμαος ἄρχεν
βρέχετο πολλᾷ νιφάδι. ταύτᾳ
δ' ἐν πρωτογόνῳ τελετᾷ
παρέσταν μὲν ἄρα
μοῖραι σχεδόν. ὅτ' ἐξελέγχων μόνος
ἀλάθειαν ἐτήτυμον
χρόνος. τὸ δ' ἐς ἀφανὲς ἰὼν πρόσω
ἐπῳ κατέφρασεν· ὅπα τὰν πολέμοιο δόσιν
δός. ἀκρόθινα διελὼν ἔθυε, καὶ πενταε-
τηρίδ' ὅπως ἄρ' ἔστασεν ἑορτὰν
ἐν ὀλυμπιάδι πρώτᾳ νικαφορίαισί τε,
τίς δὴ ποταίνιον ἔλαχε στέφανον.
χείρεσσι ποσί τε καὶ ἅρματι
ἀγώνιον ἐν δόξᾳ θέμενος
εὖχος ἔργῳ καθελών
στρο στάδιον μὲν ἀρίστευσεν εὐθύτονον
φὴ ποσσὶ τρέχων παῖς ὁ λικυμνίου
δ'. οἰωνός. ἶκε δὲ μιδέαθεν.
στρατὸν ἐλαύνων· ὁ δὲ πάλᾳ κυ-
δαίνων ἔχεμος τέγεαν.
δόρυκλος δ' ἔφερε
πυγμᾶς τέλος, τίρυνθα ναίων πόλιν
ἀν' ἵπποισι δὲ τέτρασιν

ἀντί ἀπὸ μαντινέας σᾶμ' ἁλιῤῥοθίου
στρο ἄκοντι δὲ φράστωρ ἔλασε σκοπόν.
φος. μᾶκος δ' ἐνικεὺς ἔδικε πέτρῳ
χέρα κυκλώσαις ὑπὲρ ἁπάντων
καὶ συμμαχία θόρυβον
παραίθυζε μέγαν.
ἐν δ' ἕσπερον ἔφλεξεν εὐώπιδος
σελάνας ἐρατὸν φάος.
ἐπω ἀείδετο δὲ πᾶν τέμενος τερπναῖ·
δός. σιθαλίαις τὸν ἐγκώμιον ἀμφὶ τρόπον.
ἀρχαῖς δὲ προτέραις ἑπόμενοι καὶ νῦν,
ἐπωνυμίαν χάριν νίκας ἀγερώχου
κελαδησόμεθα βροντὰν καὶ πυρπάλαμον βέ
ὀρσικτύπου διός, ἐν ἅπαντι κράτει (λος
αἴθωνα κεραυνὸν ἀραρότα.
χλιδῶσα δὲ μολπὰ πρὸς κάλαμον
ἀντιάξει μελέων
στρο τά· παρ' εὐκλέει δίρκᾳ χρόνῳ μὲν φάνεν·
φή. ἀλλ' ὥστε παῖς ἐξ ἀλόχου πατρὶ
ποθεινὸς, ἵκοντι νεότατι
τοὔμπαλιν ἤδη· μάλα δέ τοι θερ-
μαίνει φιλότατι νόον·
ἐπεὶ ὁ πλοῦτος ὁ λα-
χὼν ποιμένα ἐπακτὸν ἀλλότριον,
θνάσκοντι στυγερώτατος·
ἀντί καὶ ὅταν καλὰ μὲν ἔρξαις ἀοιδᾶς ἄτερ,

στρο ἀγησίδαμ' εἰς ἀΐδα σταθμὸν
φος. ἀνὴρ ἵκηται, κενεὰ πνεύσαις,
ἔπορε μόχθῳ βραχύ τι τερπνόν.
τὶν δ' ἁδυεπής τε λύρα
γλυκύς τ' αὐλὸς ἀνα-
πλάσει χάριν· τρέφοντι δ' εὐρὺ κλέος
κόραι πιερίδες διός.
ἐπω ἐγὼ δὲ συνεφαπτόμενος σπουδᾷ,
δός. κλυτὸν ἔθνος λοκρῶν ἀμφέπεσον, μέλιτι
εὐάνορα πόλιν καταβρέχων· παῖδ' ἐ-
ρατὸν ἀρχεστράτου αἴνησα. τὸν εἶδον
κρατέοντα χερὸς ἀλκᾷ βωμὸν παρ' ὀλύμπιον
κεῖνον κατὰ χρόνον, ἰδέα τε καλὸν,
ὥρα τε κεκραμένον ἅ ποτ' ἀ-
ναιδέα γανυμήδει θάνατον ἄ-
λαλκε σὺν κυπρογενεῖ.

ΤΩΙ ΑΥΤΩΙ ΤΟΚΟΣ ιά.

Στροφή.
στιν ἀνθρώποις ἀνέμων ὅτε πλεῖστα
ἔ χρῆσις· ἔστι δ' οὐρανίων ὑδάτων
ὀμβρείων παίδων νεφέλας·
εἰ δὲ σὺν πόνῳ τις εὖ πράσσοι, μελιγάρυες
ὑστέρων ἀρχαὶ λόγων τέλλεται· (ὕμνοι,
καὶ πιστὸν ὅρκιον μεγάλαις ἀρεταῖς.

ἀντι- ἀφθόνητος δ' αἶνος ὀλυμπιονίκαις
στρο- οὗτος ἄγκειται. τὰ μὲν ἁμετέρα
φος. γλῶσσα ποιμαίνειν ἐθέλει
ἐκ θεοῦ δ' ἀνὴρ σοφαῖς ἀνθεῖ πραπίδεσσιν.
ἴσθι νῦν· ἀρχεστράτου παῖ τεᾶς
ἀγησίδαμε πυγμαχίας ἕνεκεν.
ἐπω- κόσμον ἐπὶ στεφάνῳ χρυσέας ἐλαίας.
δός. ἁδυμελῆ κελαδήσω, τῶν ἐπι-
ζεφυρίων λοκρῶν γενεὰν ἀλέγων,
ἔνθα συγκωμάξατ'. ἐγγύσομαι,
μή μιν ὦ μοῖσαι φυγόξενον στρατὸν
μὴ δ' ἀπείρατον καλῶν·
ἀκρόσοφον δὲ καὶ αἰχματὰν ἀφίξεσθαι. τὸ γὰρ
ἐμφυὲς οὔτ' αἴθων ἀλώπηξ
οὔτ' ἐρίβρομοι λέοντες
διαλλάξαιντο ἦθος.

ΕΡΓΟΤΕΛΕΙ ΙΜΕΡΑΙΩΙ ΔΟ-
λιχοδρόμῳ ὀλύμπια καὶ πύθια,
καὶ ἴσθμια νικήσαντι. ος:
ὀλυμπιάδα· ιβ.

Στροφή.

ίσσομαι παῖ ζηνὸς ἐλευθερίου.
λ ἱμέραν εὐρυσθενέ' ἀμ-
φὶ πόλει. σώτειρα τύχα.

τὶν γὰρ ἐν πόντῳ κυβερνῶνται θοαὶ
νᾶες. ἐν χέρσῳ τε λαιψηροὶ πόλεμοι
κἀγοραὶ βουλαφόροι. αἵ γε μὲν ἀνδρῶν
πόλλ' ἄνω τὰ δ' αὖ κάτω
ψευδῆ μεταμώνια τάμνοι-
σαι κυλίνδοντ' ἐλπίδες.
αὐτί σύμβολον δ' οὔ πω τις ἐπιχθονίων
στρο πιστὸν ἀμφὶ πράξιος ἐσ-
φος. σομένας εὗρεν θεόθεν
τῶν δὲ μελλόντων τετύφωνται φράδαι
πολλὰ δ' ἀνθρώποις παρὰ γνώμαν ἔπεσεν
ἔμπαλιν μὲν τέρψιος. οἱ δ' ἀνιαραῖς
ἀντικύρσαντες ζάλαις.
ἐσλὸν βαθὺ πήματος ἐν μι-
κρῷ πεδάμειψαν χρόνῳ
ἐπω υἱὲ φιλάνορος, ἤτοι καὶ τεάκεν.
δός. ἐνδομάχας ἅτ' ἀλέκτωρ,
συγγόνῳ παρ' ἑστίᾳ.
ἀκλεὴς τιμὰ κατεφυλλορόησε ποδῶν.
εἰ μὴ στάσις ἀντιάνειρα
κνωσίας ἄμερσε πάτρας.
νῦν δ' ὀλυμπίᾳ στεφανωσάμενος,
καὶ δὶς ἐκ πυθῶνος ἰσθμοῖ τ' ἐργότελες
θερμὰ νυμφᾶν λουτρὰ βαστάζεις, ὁμιλέ-
ων παρ' οἰκείαις ἀρούραις.

ΞΕΝΟΦΩΝΤΙ ΚΟΡΙΝΘΙΩΙ ΣΤΑΔΙΟΔΡΟΜΩΙ, ΚΑΙ ΠΕΝΤΑΘΛΩΙ ΝΙΚΗΣΑΝΤΙ ΤΗΝ οθ̄ ΟΛΥΜΠΙΑΔΑ ιγʹ.

Στροφή.

τ εισολυμπιονίκαν ἐπαινέων
οἶκον, ἅμερον ἀστοῖς
ξένοισι δὲ θεράποντα, γνούσομαι
τὰν ὀλβίαν κόρινθον, ἰσθμίου
πρόθυρον ποτειδᾶνος ἀγλαόκουρον
ἐν τᾷ γὰρ εὐνομία ναίει· κασίγνη-
ταί τε, βάθρον πολίων
ἀσφαλὴς δίκα, καὶ ὁμό-
τροφος εἰράνα, ταμίαι
ἀνδράσι πλούτου χρύσεαι,
παῖδες εὐβούλου θέμιτος,
ἀντί ἐθέλοντι δ' ἀλέξειν ὕβριν κόρον
στρο ματέρα θρασύμυθον
φος. ἔχω καλά τε φράσαι. τόλματέ μοι
εὐθεῖα γλῶσσαν ὀρνύει λέγειν.
ἄμαχον δὲ κρύψαι τὸ συγγενὲς ἦθος
ὔμμιν δὲ παῖδες ἀλάτα, πολλὰ μὲν νι-
καφόρον ἀγλαΐαν

ὦ πᾶσαν ἄκραις ἀρεταῖς
ὑπερελθόντων ἱεροῖς
ἐν ἀέθλοισι. πολλὰ δ' ἐν
καρδίαις ἀνδρῶν ἔβαλον
ἐπῳ ὧραι πολυάνθεμοι ἀρ-
δός. χαῖα σοφίσμαθ'. ἅπαν δ' εὑρόντος ἔργον
ταὶ διονύσου πόθεν ἐξέφανε
σὺν βοηλάτᾳ χάριτες
διθυράμβῳ· τίς γὰρ ἱππεί-
οις ἐν ἔντεσι μέτρα,
ἢ θεῶν ναοῖσιν οἰω-
νῶν βασιλῆα δίδυμον
ἐπέθηκ' ἐν δὲ μοῖσ' ἁδύπνοος
ἐν δ' ἄρης ἀνθεῖ, νέων
οὐλίαις αἰχμαῖσιν ἀνδρῶν
στρο ὕπατ' εὐρὺ ἀνάσσων ὀλυμπίας,
φὴ ἀφθόνητος ἔπεσι
β'. γένοιο χρόνον ἅπαντα ζεῦ πάτερ.
καὶ τόνδε λαὸν ἀβλαβῆ νέμων,
ξενοφῶντος εὔθυνε δαίμονος οὖρον.
δέξαι δέ οἱ στεφάνων ἐγκώμιον
τεθμόν. τὸν ἄγει πεδίων
ἐκ πίσας, πεντάθλῳ ἅμα
σταδίου νικῶν δρόμον. ἀν-
τεβόλησεν τῶν. ἀνὴρ
θνατὸς οὔπω τις πρότερον.

ΞΕΝΟΦΩΝΤΙ ΚΟΡΙΝΘΙΩι ΣΤΑΔΙΟΔΡΟΜΩι, ΚΑΙ ΠΕΝΤΑΘΛΩι ΝΙΚΗΣΑΝΤΙ ΤΗΝ οθ ΟΛΥΜΠΙΑΔΑ. ιγ'.

Στροφή.

ρισολυμπιονίκαν ἐπαινέων
τ οἶκον, ἅμερον ἀστοῖς
ξένοισι δὲ θεράποντα, γνώσομαι
τὰν ὀλβίαν Κόρινθον, Ἰσθμίου
πρόθυρον ποτειδᾶνος ἀγλαόκουρον
ἐν τᾷ γὰρ εὐνομία ναίει· κασίγνη-
ταί τε, βάθρον πολίων
ἀσφαλὴς δίκα, καὶ ὁμό-
τροφος εἰράνα, ταμίαι
ἀνδράσι πλούτου χρύσεαι,
παῖδες εὐβούλου θέμιτος,
ἀντί ἐθέλοντι δ' ἀλεξεῖν ὕβριν κόρου
στρο ματέρα θρασύθυμον
φος. ἔχω καλά τε φράσαι. τόλμα τέ μοι
εὐθεῖα γλῶσσαν ὀρμάει λέγειν.
ἄμαχον δὲ κρύψαι τὸ συγγενὲς ἦθος
ὔμμιν δὲ παῖδες ἀλάτα, πολλὰ μὲν νι-
καφόρον ἀγλαΐαν

ἃπασαν ἄκραις ἀρεταῖς
ὑπερελθόντων ἱεροῖς
ἐν ἀέθλοισι. πολλὰ δ' ἐν
καρδίαις ἀνδρῶν ἔβαλον
ἐπω ὧραι πολυάνθεμοι ἀρ-
δός. χαῖα σοφίσμαθ'. ἅπαν δ' εὑρόντος ἔργον
ταὶ διονύσου πόθεν ἐξέφανε
σὺν βοηλάτα χάριτες
διθυράμβῳ. τίς γὰρ ἱππεί-
οις ἐν ἔντεσι μέτρα,
ἢ θεῶν ναοῖσιν οἰω-
νῶν βασιλῆα δίδυμον
ἐπέθηκ' ἐν δὲ μοῖσ' ἁδύπνοος
ἐν δ' ἄρης ἀνθεῖ, νέων
οὐλίαις αἰχμαῖσιν ἀνδρῶν
στρο ὕπατ' εὐρὺ ἀνάσσων ὀλυμπίας,
φὴ ἀφθόνητος ἔπεσι
β'. γένοιο χρόνον ἅπαντα ζεῦ πάτερ.
καὶ τόνδε λαὸν ἀβλαβῆ νέμων,
ξενοφῶντος εὔθυνε δαίμονος οὖρον.
δέξαι δέ οἱ στεφάνων ἐγκώμιον
τεθμόν. τὸν ἄγει πεδίων
ἐκ πίσας, πεντάθλῳ ἅμα
σταδίου νικῶν δρόμον. ἀν-
τεβόλησεν τῶν. ἀνὴρ
θνατὸς οὔπω τις πρότερον.

ἀντί δύο δ' αὐτὸν ἔρεψαν πλόκοι σελί-
στρο νων ἐν ἰσθμιάδεσιν
φος. φανέντα. νέμεά τ' οὐκ ἀντιξοεῖ
πατρὸς δὲ θεσσαλοῦ ἐπ' ἀλφεοῦ
ῥεέθροισιν αἴγλα ποδῶν ἀνάκειται
πυθοῖ τ' ἔχει σταδίου τιμὰν διαύλου,
θ' ἁλίῳ ἀμφ' ἑνί. μὴ
νός τέ οἱ τωὐτοῦ, κρανααῖς
ἐν ἀθάναισι· τρία μὰν
ἔργα ποδαρκὴς ἁμέρα
θῆκε κάλλιστ' ἀμφὶ κόμαις.
ἐπῳ ἑλλώτια δ' ἑπτάκις· ἐν
δός. δ' ἀμφιάλοισι ποτειδᾶνος τεθμοῖσι,
πτοιοδώρῳ σὺν πατρί. μακρότεραι
τερψίας θ' ἕψοντ', ἐρίτι
μοί τ' ἀοιδαί. ὅσα τ' ἐν δελ-
φοῖσιν ἀριστεύσατε,
ἠδὲ χόρτοις ἐν λέοντος.
δηρίομαι πολέσι
περὶ πλήθει καλῶν· ὡς μὰν σαφὲς
οὐκ ἂν εἰδείην λέγειν
ποντιᾶν ψάφων ἀριθμόν.
στρο ἕπεται δ' ἐν ἑκάστῳ μέτρον. νοῆ-
φὴ σαι δὲ καιρὸς ἄριστος.
γ'. ἐγὼ δὲ ἴδιος ἐν κοινῷ σταλεὶς,
μῆτίν τε γαρύων παλαιγόνων

πόλεμόν τ' ἐν ἡρωΐαις ἀρεταῖσιν
οὐ ψεύσομ' ἀμφὶ κορίνθῳ σίσυφον μὲν
πυκνότατον πα λάμαις
ὡς θεὸν, καὶ τὰν πατρὸς ἀν-
τία μήδειαν θεμέναν
τὸν γάμον αὐτᾷ, ναὶ σώ-
τειραν ἀργοῖ καὶ προπόλοις.
ἀντί τὰ δὲ, καί ποτ' ἐν ἀλκᾷ πρὸ δαρδάνου,
στρο τειχέων ἐδόκησαν.
φος. ἐπ' ἀμφότερα μαχᾶν τέμνειν τέλος,
τοὶ μὲν, γένει φίλῳ σὺν ἀτρέος
ἑλέναν κομίζοντες, οἱ δ' ἀπὸ πάμπαν
εἴργοντες. ἐκ λυκίας δὲ γλαῦκον ἐλθόν-
τα τρόμεον δαναοὶ
τοῖσι μὲν, ἐξεύχετ' ἐν ἄ-
στει πειράνας σφετέρου
μὲν πατρὸς ἀρχὰν καὶ βαθὺν
κλᾶρον ἔμμεν καὶ μέγαρον.
ἐπω ὃς τᾶς ὀφιώδεος υἱ-
δός. ὄν ποτε γοργόνος, ἦ πολλ' ἀμφὶ κρουνοῖς
πάγασον ζεῦξαι ποθέων, ἔπαθεν
πρίν γέ οἱ χρυσάμπυκα κού-
ρα χαλινὸν παλλὰς ἤνεγ-
κ' ἐξ ὀνείρου δ' αὐτίκα
ἦν ὕπαρ. φώνασε δ', εὕδεις
αἰολίδα βασιλεῦ.

ἄγε φίλτρον τόδ' ἵππειον δέχευ
καὶ δαμαίῳ μιν θύων
ταῦρον ἀργάντα πατρὶ δεῖξον.
στρο κυαναιγὶς ἐν ὄρφνᾳ κνώσσοντί οἱ
φὴ παρθένος τόσα εἰπεῖν
δ'. ἔδοξεν. ἀνὰ δ' ἔπαλτ' ὀρθῷ ποδί.
παρκείμενον δὲ συλλαβὼν τέρας,
ἐπιχώριον μάντιν ἄσμενος εὗρεν.
δεῖξέ τε κοιρανίδα πᾶσαν τελευτὰν
πράγματος· ὥστ' ἀνὰ βωμῷ
θεᾶς κοιτάξατο νύ-
κτ' ἀπ' ἐκείνου χρήσιος. ὡς
τέ οἱ αὐτὰ Ζηνὸς ἐγ-
χεικεραύνου παῖς ἔπορεν
ἀντί δάμασίφρονα χρυσόν. ἐνυπνίῳ
στρο δ' ὡς τάχιστα πιθέσθαι
φος. κελήσατό μιν. ὅταν δ' εὐρυσθενεῖ
καρταίποδ' ἀναρύη γαιαόχῳ,
θέμεν ἱππίᾳ βωμὸν εὐθὺς ἀθανᾷ
πληροῖ θεῶν δύναμις ϗ τὰν παρ' ὅρκον
καὶ τὰν παρ' ἐλπίδα κού-
φαν κτῆσιν. ἤτοι καὶ ὁ καρ-
τερὸς ὁρμαίνων ἕλε
βελλεροφόντας, φάρμακον
πραῢ τείνων ἀμφὶ γένυι.
ἐπω ἵππον πτερόεντ' ἀναβὰς

δος. δ' εὐθὺς ἐνόπλια χαλκωθεὶς ἔπαιζεν.
σὺν δ' ἐκείνῳ καί ποτ' ἀμαζονίδων
αἰθέρος ψυχρᾶς ἀπὸ κόλ-
πων ἐρήμου τοξόταν βάλ-
λων γυναικεῖον στρατὸν,
καὶ χίμαιραν πῦρ πνέοισαν.
καὶ σολύμους, ἔπεφνεν.
διασωπάσομαί οἱ μόρον ἐγὼ
τὸν δ' ἐν ὀλύμπῳ φάτναι
ζηνὸς ἀρχαῖαι δέκονται
ἐμὲ δ' εὐθὺν ἀκόντων ἱέντα ῥόμ-
βον. παρὰ σκοπὸν οὐ χρὴ
τὰ πολλὰ βέλεα καρτύνειν χεροῖν.
μοίσαισι γὰρ ἀγλαοθρόνοις ἑκὼν,
ὀλιγαιθίδαισίν τ' ἔβαν ἐπίκουρος,
ἰσθμοῖ τά τ' ἐν νεμέᾳ. παύρῳ δ' ἔπει θή-
σω φανέρ' ἀθρό' ἀλα·
θὴς τέ μοι ἔξορκος ἐπίσ-
σεται. ἑξηκοντάκι δ' ἀμ-
φοτέρωθεν ἁδύγλως·
σος βοὰ κάρυκος ἐσλοῦ.
αὐτί τὰ δ' ὀλυμπία αὐτῶν ἔοικεν ἤ-
στρο δη πάροιθε λελέχθαι
φος. τά τ' ἐσσόμενα τότ' ἂν φαίην σαφές.
νῦν δ' ἔλπομαι μέν. ἐν θεῷ γε μὰν
τέλος. εἰ δὲ δαίμων ὁ γενέθλιος ἕρποι,

διῒ τοῦτ' ἐναλίῳ τ' ἐκλαδώσομεν
πράσσειν· τὰ δ' ἐπ' ὀφρύϊ παρ-
νασίᾳ. ἐν ἄργει θ', ὅσ-
σα καὶ ἐν θήβαις. ὅσα τ' ἀρ-
κάσιν ἀνάσσων. μαρτυρή-
σει λυκαίου βωμὸς ἄναξ.
πελλάνα τε, καὶ σικυὼν.
ἐπω καὶ μέγαρ' αἰακιδᾶν τ' εὐερκὲς ἄλσος
δός. ἅ τ' ἐλευσὶς. καὶ λιπαρὰ μαραθὼν
ταί θ' ὑπ' αἴτνας ὑψιλόφου
καλλίπλουτοι πόλιες. ἅ τ' εὔ-
βοια. καὶ πᾶσαν κατὰ
ἑλλάδ' εὑρήσεις ἐρευνῶν
μάσσον' ἢ ὡς ἰδέμεν.
ἀλλὰ κούφοισιν ἐκνεῦσαι ποσὶ
ζεῦ τέλει'. ἀλλῶ τε δίδοι
καὶ τύχαν τερπνῶν γλυκεῖαν.

ΑΣΩΠΙΧΩι ΟΡΧΟΜΕΝΙΩι ΣΤΑΔΙΕΙ παιδὶ κλεοδάμου νικήσαντι τὴν οϛ ὀλυμπιάδα ιδ

ϛροφή.

Καφισίων ὑδάτων λαχοῖσαι
αἵ τε ναίετε καλλίπωλον ἕδραν,

ὦ λιπαρᾶς ἀοίδιμοι βασίλειαι
χάριτες ὀρχομενοῦ,
παλαιγόνων μινυᾶν ἐπίσκοποι
κλῦτ᾽ ἐπεὶ εὔχομαι
σὺν γὰρ ὑμῖν τὰ τερπνὰ καὶ τὰ γλυκέα
γίνεται πάντα βροτοῖς,
εἰ σοφὸς, εἰ καλὸς, εἴ τις ἀγλαὸς
ἀνήρ. οὔτε γὰρ θεοὶ
σεμνᾶν χαρίτων ἄτερ
κοιρανέοντι χοροὺς,
οὔτε δαῖτας. ἀλλὰ πάντων
ταμίαι ἔργων, ἐν οὐρανῷ
χρυσότοξον θέμεναι
παραπύθιον ἀπόλλωνα θρόνους,
ἀέναον σέβοντι πατρὸς
ὀλυμπίοιο τιμὰν
στρο πότνι᾽ ἀγλαΐα, φιλησίμολπέ
φὴ τ᾽ εὐφροσύνα, θεῶν κρατίστου παῖδες.
β´. ἐπάκοοι νῦν. θαλία τε
ἐρασίμολπε, ἰδοῖσα τόνδε
κῶμον ἐπ᾽ εὐμενεῖ τύχᾳ
κοῦφα βιβῶντα. λυδίῳ
γὰρ ἀσώπιχον ἐν τρόπῳ
ἐν μελέταις τε ἀείδων,
ἔμολον. οὕνεκ᾽ ὀλυμπιόνικος ἁ μινύεια
σεῦ ἕκατι. μελαντείχεα νῦν δόμον,

φερσεφόνασ' ἐλθὲ ἀχοῖ.
πατρὶ κλυτὰν φέροισ' ἀγ-
γελίαν. κλεόδαμον ὄφρ' ἰδοῖσ' υἱ-
ὸν εἴπῃς, ὅτι οἱ νέαν
κόλποισι παρ' εὐδόξοιο πίσας,
ἐστεφάνωσε κυδίμων ἀέθλων
πτεροῖσι χαίταν.

ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΥΣΙΩι ΑΡΜΑΤΙ.

ΜΕΛΟΣ Α.

Στροφή.

ρυσέα φόρμιγξ ἀπόλλω-
Χ νος, καὶ ἰοπλοκάμων
σύνδικον μοισᾶν κτέανον
τᾶς ἀκούει μὲν βάσις ἀγλαΐ
πείθονται δ' ἀοιδοὶ σάμασιν, (ας ἀρχά.
ἁγησιχόρων ὁπόταν προοιμίων
ἀμβολὰς τεύχῃς ἐλελιζομένα.
καὶ τὸν αἰχματὰν κεραυνὸν σβεννύεις
ἀενάου πυρός. εὕ-
δει δ' ἀνὰ σκάπτῳ διὸς αἰετὸς. ὠ-
κεῖαν πτέρυγ' ἀμφοτέρω-
θεν χαλάξαις.
ἀντί ἀρχὸς οἰωνῶν. κελαινῶ
στρο πιν δ' ἐπί οἱ νεφέλαν
φος. ἀγκύλῳ κρατὶ γλεφάρων
ἁδὺ κλᾷστρον κατέχευσας. ὁ δὲ κνώσσων
ὑγρὸν νῶτον αἰωρεῖ, τεαῖς
ῥιπαῖσι κατασχόμενος. καὶ γὰρ βια-
τὰς ἄρης τραχεῖαν ἄνευθε λιπὼν
ἐγχέων ἀκμὰν, ἰαίνει καρδίαν

κώμῳ. κῆλα δὲ καὶ
δαιμόνων. θέλγει φρένας, ἀμφί τε λα
τοΐδα σοφίᾳ, βαθυκόλ-
πων τε μοισᾶν
ἐπῳ ὅσσα δὲ μὴ πεφίληκε
δός. ζεὺς, ἀτύζονται βοὰν
πιερίδων ἀΐοντα.
γᾶν τε καὶ πόντον κατ' ἀμαιμάκετον.
ὅστ' ἐν αἰνᾷ ταρτάρῳ κεῖ-
ται θεῶν πολέμιος
τυφὼς ἑκατοντακάρανος. τόν ποτε
κιλίκιον θρέψεν, πολυώ-
νυμόν τ' ἄντρον. νῦν γε μὰν
ταί θ' ὑπὲρ κύμας ἁλιερκέες ὄχθαι,
σικελία τ' αὐτοῦ πιέζει
στέρνα λαχνάεντα. κίων
δ' οὐρανία συνέχει
νιφόεσσ' αἴτνα πάνετες,
χιόνος ὀξείας τιθήνα,
στρο τᾶς. ἐρεύγονται μὲν ἀπλά-
φὴ του πυρὸς ἁγνόταται
β'. ἐκ μυχῶν παγαί. ποταμοὶ
δ' ἁμέραισι μὲν προχέοντι ῥόον καπνοῦ
αἴθων'. ἀλλ' ἐν ὄρφναισι πέτρας
φοίνισσα κυλινδομένα φλὸξ ἐς βαθεῖ-
αν φέρει πόντου πλάκα σὺν πατάγῳ.

κεῖνο δ' ἁφαίστοιο κρουνὸς ἑρπετὸν
δεινοτάτους ἀναπέμ-
πει. τέρας μὲν θαυμάσιόν τι ἰδέ-
σθαι. θαῦμα δὲ καὶ παριόν-
των ἀκοῦσαι.
ἀντί οἷον αἴτνας ἐν μελαμφύλ-
στρο λοις δέδεται κορυφαῖς
φος. καὶ πέδῳ. στρωμνὰ δὲ χαράσ-
σοισ' ἅπαν νῶτον ποτικεκλιμένον κεντεῖ.
εἴη ζεῦ τὶν εἴη ἀνδάνειν
ὃς τοῦτ' ἐφέπεις ὄρος εὐκάρποιο γαί-
ας μέτωπον. τοῦ μὲν, ἐπωνυμίαν
κλεινὸς οἰκιστὴρ ἐκύδανεν πόλιν
γείτονα. πυθιάδος
δ' ἐν δρόμῳ κάρυξ ἀνέει πένιν, ἀγ-
γέλλων ἱέρωνος ὕπερ
καλλινίκου.
ἐπω ἅρμασι. ναυσιφορήτοις
δὸς. δ' ἀνδράσι πρῶτα χάρισ
ἐς πλόον ἀρχομένοις, πομ-
παῖον ἐλθεῖν οὖρον. ἐοικότα γὰρ
καὶ τελευτᾷ φέρτερα νό-
σου τυχεῖν. ὁ δὲ λόγος
ταύταις ἐπὶ συντυχίαις δόξαν φέρει
λοιπὸν ἔσεσθαί νιν στεφάνοι-
σιν ἵπποισίν τε κλυτάν.

καὶ σὺν εὐφώνοις θαλίαις ὀνομαστὰν
Λύκιε καὶ Δάλοιο ἀνάσσων
Φοῖβε, Παρνασσοῦ τε κρήναν
Κασταλίαν φιλέων,
ἐθελήσαις ταῦτα νόῳ
τιθέμεν, εὔανδρόν τε χώραν.
στρο ἐκ θεῶν γὰρ μαχαναὶ πᾶ-
φὴ σαι βροτέαις ἀρεταῖς.
γ'. καὶ σοφοὶ, καὶ χερσὶ βιη-
ταὶ περίγλωσσοί τ' ἔφυν. ἄνδρα δ' ἐγὼ
αἰνεῖσαι μενοινῶν, ἔλπομαι. (κεῖνον
μὴ χαλκοπάραον ἄκονθ'. ὡσεί τ' ἀγῶ-
νος, βαλεῖν ἔξω παλάμᾳ δονέων,
μακρὰ δὲ ῥίψαις ἀμεύσαιθ' ἀντίους.
εἰ γὰρ ὁ πᾶς χρόνος ὄλ-
βον μὲν οὕτω καὶ κτεάνων δόσιν εὐ-
θύνοι, καμάτων δ' ἐπίλα-
σιν παράσχοι
ἀντί ἦ κεν ἀμνάσειεν οἵαις
στρο ἐν πολέμοισι μάχαις
φος. τλάμονι ψυχᾷ παρέμει-
ν', ἀνίχ' εὑρίσκοντο θεῶν παλάμαις τιμὰν
οἵαν οὔτις Ἑλλάνων δρέπει,
πλούτου στεφάνωμ' ἀγέρωχον. νῦν γε μὰν
τὰν Φιλοκτήταο δίκαν ἐφέπων
ἐστρατεύθη. σὺν δ' ἀνάγκᾳ μιν φίλον

καί τις ἐὼν μεγαλά-
νωρ ἔσανεν· φαντὶ δὲ λαμνόθεν ἕλ-
κει τειρόμενον μεταλλάσ-
σοντας ἐλθεῖν
ἐπω ἥρωας ἀντιθέους ποί-
δός. αντος υἱὸν τοξόταν·
ὃς πριάμοιο πόλιν πέρ-
σεν. τελεύτασέν τε πόνους δαναοῖς,
ἀσθενεῖ μὲν χρωτὶ βαίνων·
ἀλλὰ μοιρίδιον ἦν·
οὕτω δ᾽ ἱέρωνι θεὸς ὀρθωτὴρ πέλοι
τὸν ποτιέρποντα χρόνον, ὧν
ἔραται καιρὸν διδοὺς
μοῖσα· καὶ πὰρ δεινομένει κελαδῆσαι
πείθεό μοι, ποινὰν τεθρίππων
χάρμα δ᾽ οὐκ ἀλλότριον νι-
καφορία πατέρος
ἄγ᾽ ἔπειτ᾽ αἴτνας βασιλεῖ
φίλιον ἐξεύρωμεν ὕμνον
στρο τῷ, πόλιν κείναν θεοδμά-
φὴ τῳ σὺν ἐλευθερίᾳ
α'. ὑλλίδος στάθμας ἱέρων
ἐν νόμοις ἔκτισσε· θέλοντι δὲ παμφύλου
καὶ μὰν ἡρακλειδᾶν ἔκγονοι
ὄχθαις ὑπὸ ταϋγέτου ναίοντες, αἰ-
εὶ μένειν τεθμοῖσιν ἐν αἰγιμιοῦ,

δωριῆς. ἔσχον δ' ἀμύκλας ὄλβιοι,
πίνδοθεν ὀρνύμενοι,
λευκοπώλων τυνδαριδᾶν βαθύδο-
ξοι γείτονες. ὧν κλέος ἄν-
θησεν αἰχμᾶς.
ἀντί ζεῦ τέλει', αἰεὶ δὲ τοιαύ-
στρο ταν, ἀμένα παρ' ὕδωρ,
φος. αἶσαν ἀστοῖς καὶ βασιλεῦ-
σιν διακρίνειν ἔτυμον λόγον ἀνθρώπων.
σύν τοι τίν κεν ἁγητὴρ ἀνήρ,
υἱῷ τ' ἐπιτελλόμενος δᾶμόν τε, γεραί-
ρων, τράποι σύμφωνον ἐφ' ἡσυχίαν
λίσσομαι, νεῦσον κρονίων ἅμερον,
ὄφρα κατ' οἶκον ὁ φοί-
νιξ ὁ τυρσανῶν τ' ἀλαλατὸς ἔχῃ,
ναυσίστονον ὕβριν ἰδὼν
τὰν πρὸ κύμας
ἐπω οἷα συρακουσίων ἀρ-
δός. χῷ δαμασθέντες πάθον
ὠκυπόρων ἀπὸ ναῶν,
ὅς σφιν ἐν πόντῳ βάλεθ' ἁλικίαν.
ἑλλάδ' ἐξέλκων βαρείας
δουλίας. ἀρέομαι τὰν
πὰρ μὲν σαλαμῖνος ἀθηναίων χάριν
μισθόν. ἐν σπάρτᾳ δ' ἐρέω τὰν
πρὸ κιθαιρῶνος μάχαν

τοῖσι μήδειοι κάμον ἀγκυλότοξοι·
πὰρ δέ γε τὰν εὔυδρον ἀκτὰν
ἱμέρα παίδεσσιν ὕμνον
δεινομένευς τελέσαις,
τὸν, ἐδέξαντ' ἀμφ' ἀρετᾷ,
πολεμίων ἀνδρῶν καμόντων·
στρο καιρὸν εἰ φθέγξαιο πολλῶν
φὴ πείρατα συντανύσαις
ε. ἐν βραχεῖ, μείων ἕπεται
μῶμος ἀνθρώπων. ἀπὸ γὰρ κόρος ἀμβλύνει
αἰανὴς ταχείας ἐλπίδας·
ἀστῶν δ' ἀκοὰ κρύφιον θυμὸν βαρύ-
νει μάλιστ' ἐσλοῖσιν ἐπ' ἀλλοτρίοις·
ἀλλ' ὅμως· κρέσσων γὰρ οἰκτιρμῶν φθόνος
μὴ παρίει καλά. νώ-
μα δικαίῳ πηδαλίῳ στρατόν. ἀ-
ψευδεῖ δὲ πρὸς ἄκμονι χάλ-
κευε γλῶσσαν.
ἀντί εἴ τι καὶ φλαῦρον παραιθύσ-
στρο σει· μέγα τοι φέρεται,
φος. παρ σέθεν. πολλῶν ταμίας
ἐσσί. πολλοὶ μάρτυρες ἀμφοτέροις πιστοὶ
εὐανθεῖ δ' ἐν ὀργᾷ παρμένων,
εἴπερ τι φιλεῖς ἀκοὰν ἁδεῖαν αἰ.
εὶ κλύειν μὴ κάμνε λίαν δαπάναις
ἐξίει δ' ὥστε κυβερνάτας ἀνὴρ

ἱστίον ἀνεμόεν πετάσαις
μὴ δολωθῇς ὦ φίλε κέρδεσιν εὐ-
τραπέλοις· ὀπισόμβροτον αὔ-
χημα δόξας,
ἐπω οἷον ἀποιχομένων ἀν-
δός· δρῶν δίαιταν μανύει
καὶ λογίοις, καὶ ἀοιδοῖς.
οὐ φθίνει κροίσου φιλόφρων ἀρετά.
τὸν δὲ, ταύρῳ χαλκέῳ καυ-
τῆρα νηλέα νόον.
ἐχθρὰ φάλαριν κατέχει παντᾶ φάτις.
οὐδέ μιν φόρμιγγες ὑπω-
ρόφιαι κοινωνίαν
μαλθακὰν παίδων ὀάροισι δέχονται.
τὸ δὲ παθεῖν εὖ, πρῶτον ἀέθλων.
εὖ δ' ἀκούειν, δευτέρα μοῖ-
ρ' ἀμφοτέροισι δ' ἀνὴρ
ὃς ἂν ἐγκύρσῃ καὶ ἕλῃ.
στέφανον ὕψιστον δέδεκται.

ΤΩ͂Ι ΑΥΤΩ͂Ι ΑΡΜΑΤΙ·
ΜΕΛΟΣ Β.

Στροφή.

εγαλοπόλιες ὦ συρά-
μ κοσαι, βαθυπολέμου
τέμενος ἄρεος, ἀνδρῶν

ἵππων τε σιδηροχαρμᾶν
δαιμόνιαι τροφοί,
ὔμμιν τόδε τᾶν λιπαρᾶν ἀπὸ θηβᾶν
φέρων μέλος ἔρχομαι
ἀγγελίαν τετραορίας ἐλελίχθονος
εὐάρματος ἱέρων ἐν ᾇ κρατέων
τηλαυγέσιν ἀνέδησεν ὀρ-
τυγίαν στεφάνοις,
ποταμίας ἕδος ἀρτέμιδος·
τᾶς οὐκ ἄτερ κείνας ἀγαναῖσιν ἐν
χερσὶ ποικιλανίους
ἐδάμασσε πώλους.
ἀντι ἐπὶ γὰρ ἰοχέαιρα παρ-
στρο θένος χερὶ διδύμα,
φος. ὅτ' ἐναγώνιος ἑρμᾶς,
αἰγλᾶντα τίθησι κόσμον
ξεστὸν ὅταν δίφρον
ἔν θ' ἅρματα πεισιχάλινα καταζευ-
γνύῃ σθένος ἵππειον,
ὀρσοτρίαιναν εὐρυβίαν καλέων θεόν
ἄλλοις δέ τις ἐτέλεσσεν ἄλλος ἀνὴρ
εὐαχέα βασιλεῦσιν ὕ-
μνον ἄποιν' ἀρετᾶς.
κελαδέοντι μὲν ἀμφὶ κινύ-
ραν πολλάκις φᾶμαι κυπρίων· τὸν ὁ
χρυσοχαίτα προφρόνως

ἐφίλασ᾽ ἀπόλλων·
ἐπω ἱερέα κτίλον ἀφροδίτας·
δός. ἄγει δὲ χάρις φίλων
ποί τινος ἀντὶ ἔργων
ὀπιζομένα. σὲ δ᾽ ὦ δεινομένειε παῖ
ζεφυρία πρὸ δόμων
λοκρὶς παρθένος ἀπύει
πολεμίων καμάτων ἐξ ἀμαχάνων,.
διὰ τεὰν δύναμιν δρακεῖσ᾽ ἀσφαλῶς
θεῶν δ᾽ ἐφετμαῖς
ἰξίονα φαντὶ ταῦτα
βροτοῖς λέγειν ἐν πτερόεντι τροχῷ
παντᾷ κυλινδόμενον,
τὸν εὐεργέταν ἀγαναῖς ἀμοιβαῖς
ἐποιχομένους τίνεσθαι.
ςρο ἔμαθε δὲ σαφές. εὐμενέ-
φὴ σι γὰρ παρὰ κρονίδαις
β'. γλυκὺν ἑλὼν βίοτον, μα-
κρόν γ᾽ οὐχ ὑπέμειναν ὄλβον
μαινομέναις φρεσὶν,
ἥρας ὅτ᾽ ἐράσσατο. τὰν διὸς εὐναὶ
λάχον πολυγαθέες.
ἀλλά νιν ὕβρις ἐς αὐάταν ὑπεράφανον
ὦρσε. τάχα δὲ παθὼν ἐοικότ᾽ ἀνὴρ
ἐξαίρετον ἕλε μόχθον. αἱ
δύο δ᾽ ἀμπλακίαι

φρέ ποτ' τελέθοντι· τὸ μὲν
ἥρως ὅτι τ' ἐμφύλιον αἷμα πρώ-
τιστος οὐκ ἄτερ τέχνας
ἐπέμιξε θνατοῖς
ἀντί ὅτι τε μεγαλοκευθέεσ-
στρο σιν ἐν ποτε θαλάμοις
φος· διὸς ἄκοιτιν ἐπειρᾶ-
›› το. χρὴ δὲ κατ' αὐτὸν αἰεὶ
›› παντὸς ὁρᾶν μέτρον.
εὐναὶ δὲ παράτροποι ἐς κακότατ' ἀ-
θρόαν ἔβαλον· ποτὶ
καὶ τὸν, ἱκόντ'. ἐπεὶ νεφέλᾳ παρελέξατο
ψεῦδος γλυκὺ μεθέπων ἄϊδρις ἀνήρ·
εἶδος γὰρ ὑπεροχωτάτα
πρέπεν οὐρανία
θυγατέρι κρόνου· ἅν τε δόλον
αὐτῷ θέσαν ζηνὸς παλάμαι. καλὸν
πῆμα· τὸν δὲ τετράκνα-
μον ἔπραξε δεσμὸν
ἐπω ἑὸν ὄλεθρον ὅγ' ἐν δ' ἀφύκτοι-
δός· σι γυιοπέδαις πεσὼν,
τὰν πολύκοινον ἀνεδέ-
ξατ' ἀγγελίαν· ἄνευ δέ οἱ χαρίτων τέκεν,
γόνον ὑπερφίαλον
μόνα καὶ μόνον, οὔτ' ἐν ἀν-
δράσι γερασφόρον, οὔτ' ἐν θεῶν νόμοις

ρον, ὀνύμαξε Ζαφόισα κένταυρον· ὃς
ἵπποισι μαγνη-
τίδεσσιν ἐμίγνυτ' ἐν πα-
λίου σφυροῖς· ἐκ δ' ἐγένοντο στρατὸς,
θαυμαστὸς, ἀμφοτέροις
ὁμοῖοι τοκεῦσι· τὰ ματρόθεν μὲν
κάτω· τὰ δ' ὕπερθε πατρός.
στρο θεὸς ἅπαν ἐπὶ ἐλπίδεσ-
φὴ σι τέκμαρ ἀνύεται.
γ. θεὸς ὃ καὶ πτερόεντ' αἰ-
ετὸν κίχε· καὶ θαλασσαῖ-
ον παραμείβεται
δελφῖνα· καὶ ὑψιφρόνων τίν' ἔκαμψε
βροτῶν, ἑτέροισι δὲ
κῦδος ἀγήραον παρέδωκ'· ἐμὲ δὲ χρεὼν
φεύγειν δάκος ἀδινὸν κακαγοριᾶν.
εἶδον γὰρ ἑκὰς ἐὼν τὰ πόλ-
λ' ἐν ἀμαχανίᾳ
ψογερὸν ἀρχίλοχον βαρυλό-
γοις ἔχθεσιν πιαινόμενον· τὸ πλου-
τεῖν δὲ σὺν τύχᾳ πότμου
σοφίας ἄριστον.
ἀντί τὺ δὲ σάφα νιν ἔχεις ἐλευ-
στρο θέρᾳ φρενὶ πεπαρεῖν
φος. πρύτανι· κύριε πολλᾶν
μὲν εὐστεφάνων ἀγυιᾶν,

καὶ στρατοῦ. εἰ δέ τις
ἤδη κτεάτεσσί τε, καὶ περὶ τιμᾷ
λέγει ἕτερόν τιν' ἀν'
ἐλλάδα τῶν πάροιθε γενέσθαι ὑπέρτερον
χαύνᾳ πραπίδι παλαιμονεῖ κενεά.
εὐανθέα δ' ἀναβάσομαι
στόλον ἀμφ' ἀρετᾷ
κελαδέων· νεότατι μὲν ἀ-
ρήγει θράσος δεινῶν πολέμων· ὅθεν
φαμὶ καὶ σὲ τὰν ἀπεί-
ρονα δόξαν εὑρεῖν,
ἐπω τὰ μὲν, ἐν ἱπποσόαισιν ἀνδρά-
δός. σι μαρνάμενον, τὰ δ' ἐν
πεζομάχαισι· βουλαὶ
δὲ πρεσβύτεραι, ἀκίνδυνον ἐμοὶ ἔπος,
ποτί ῥ' ἅπαντα λόγον
ἐπαινεῖν παρέχοντι. χαῖ-
ρε. τόδε μὲν κατὰ φοίνισσαν ἐμπολὰν
μέλος ὑπὲρ πολιᾶς ἁλὸς πέμπεται
τὸ καστόρειον
δ' ἐν αἰολίδεσσι χορδαῖς
θέλων ἄθρησον, χάριν ἑπτακτύπου
φόρμιγγος ἀντόμενος
γένοιο δ' οἷος ἐσσὶ μαθών. καλός τοι
πίθων παρὰ παισὶν αἰεὶ
καλός. ὁ δὲ ῥαδάμανθυς εὖ

πέπραγεν· ὅτι φρενῶν
ἔλαχε καρπὸν ἀμώμητον
οὐδ᾽ ἀπάταισι θυμὸν
τέρπεται ἔνδοθεν·
οἷα ψιθύρων παλάμαις ἕπετ᾽ αἰεὶ
βροτῶν, ἄμαχον κακὸν
ἀμφοτέροις· διαβολιᾶν ὑποφάτιες
ὀργαῖς ἀτενὲς ἀλωπέκων ἴκελοι
κέρδει δὲ, τί μάλα τοῦτο κερ-
δαλέον τελέθει.
ἅτε γὰρ ἐνάλιον πόνον ἐ-
χοίσας βαθὺ σκευᾶς ἑτέρας ἀβά-
πτιστός εἰμι, φελλὸς, ὣς
ὑπὲρ ἕρκος ἅλμας.
ἀντί ἀδύνατον δ᾽ ἔπος ἐκβαλεῖν·
στρο κραταιὸν ἐν ἀγαθοῖς
φος. δόλιον ἀστόν· ὅμως μὰν
σαίνων ποτὶ πάντας ἄγαν
πάγχυ διαπλέκει.
οὔ οἱ μετέχω θράσεος· φίλον εἴη
φιλεῖν· ποτὶ δ᾽ ἐχθρὸν ἅ-
τ᾽ ἐχθρὸς ἐὼν λύκοιο δίκαν ὑποθεύσομαι·
ἀλλ᾽ ἄλλοτε πατέων ὁδοῖς σκολιαῖς
ἐν πάντα δὲ νόμον εὐθύγλωσ-
σος ἀνὴρ προφέρει
παρὰ τυραννίδι. χ᾽ ὠπόταν ὁ

λάβρος στρατός· χ' ὤταν πόλιν οἱ σοφοὶ
τηρέωντι. χρὴ δὲ πρὸς
θεὸν οὐκ ἐρίζειν.
ἐπω ὃς ἀνέχει τοτὲ μὲν τὰ κείνων.
δός. τοτὲ δ' αὖθ' ἑτέροις ἔδω-
κε μέγα κῦδος. ἀλλ' οὐ-
δὲ ταῦτα νόον ἰαίνει φθονερῶν· στάθμας
δέ τινος ἑλκόμενος
περισσᾶς· ἐνέπαξεν ἕλ-
κος ὀδυναρὸν ἑᾶ πρόσθε καρδία·
πρὶν ὅσα φροντίδι μητίονται τυχεῖν.
φέρειν δ' ἐλαφρῶς ἐπαυχένιον λαβόντα
ζυγὸν ἀρήγει. ποτὶ κέντρον δέ τοι
λακτισέμεν τελέθει
ὀλισθηρὸς οἶμος. ἄδοντα δ' εἴη
με τοῖς ἀγαθοῖς ὁμιλεῖν.

ΤΩι ΑΥΤΩι ΚΕΛΗΤΙ.
ΜΕΛΟΣ Γ'.
Στροφή.

θελον χείρωνά κε φιλλυρίδαν,
ἤ εἰ χρεὼν τοῦθ' ἁμετέρας ἀπὸ γλώσ-
σας κοινὸν εὔξασθαι ἔπος,
ζώειν τὸν ἀποιχόμενον
οὐρανίδα γόνον εὐ-
ρυμέδοντα κρόνου.

βάσσαισί τ᾽ ἄρχειν παλίου
φῆρ᾽ ἀγρότερον.
νόον ἔχοντ᾽ ἀνδρῶν φίλον· οἷ-
ος ἐὼν θρέψέν ποτε
τέκνον ἀνωδυνίας
ἅμερον γυιαρκέος ἀσκλαπιόν·
ἥρωα παντοδαπᾶν ἀλεκτῆρα νούσων
ἀντί τὸν μὲν εὐίππου φλεγύα θυγάτηρ
στρο πρὶν τελέσσαι ματροπόλῳ σὺν ἐλει-
φος. θυίᾳ, δαμεῖσα χρυσέοις
τόξοισιν ὑπ᾽ ἀρτέμιδος,
εἰς ἀΐδαο δόμον ἐν
θαλάμῳ κατέβα
τέχναις ἀπόλλωνος. χόλος
δ᾽ οὐκ ἁλίθιος
γίγνεται παίδων διός. ἁ
δ᾽ ἀποφλαυρίξασά μιν
ἀμπλακίαισι φρενῶν·
ἄλλον αἴνησε γάμον κρύβδαν πατρὸς
πρόσθεν ἀκερσεκόμᾳ μιχθεῖσα φοίβῳ
ἐπω καὶ φέροισα σπέρμα θεοῦ καθαρόν.
δός. οὐδ᾽ ἔμειν᾽ ἐλθεῖν τράπεζαν νυμφιδίαν,
οὐδὲ παμφώνων ἰαχὰν
ὑμεναίων· ἅλικες
οἷα παρθένοι φιλέουσιν ἑταῖραι
ἑσπερίαις ὑποκου-

ρίζεσθ᾽

εἴζεθ᾽ ἀοιδαῖς. ἀλλά τοι
ἤρατο τῶν ἀπεόν-
των· οἷα καὶ πολλοὶ πάθον.
ἔστι δὲ φῦλον ἐν ἀν-
θρώποισι ματαιότατον
ὅς τις αἰσχύνων ἐπιχώ-
ρια, παπταίνει τὰ πόρσω
μεταμώνια θη-
ρεύων ἀκράντοις ἐλπίσιν.
στρ. ἔσχε τοι ταύταν μεγάλαν ἀβάταν
β΄. καλλιπέπλου λῆμμα κορωνίδος· ἐλ-
θόντος γὰρ εὐνάσθη, ξένου
λέκτροισιν ἀπ᾽ ἀρκαδίας·
οὐδ᾽ ἔλαθε σκοπόν· ἐν
δ᾽ ἄρα μηλοδόκῳ
πυθῶνι τόσσαις, ἄϊεν
ναοῦ βασιλεὺς
λοξίας, κοινᾶνι παρ᾽ εὐ-
θυτάτῳ γνώμα πεπιθὼν
πάντα ἰσαντι νόῳ
ψευδέων δ᾽ οὐχ ἅπτεται κλέπτει τέ μιν
οὐ θεὸς οὐ βροτὸς ἔργοις οὔτε βουλαῖς
ἀντ. καὶ τότε γνοὺς ἴσχυος εἰλατίδα
ξενίαν κοίταν ἄθεμίν τε δόλον
πέμψεν κασιγνήταν μένει
θύοισαν ἀμαιμακέτῳ

ἐς λακέρειαν· ἐπεὶ παρὰ βοιβιάδος
κρημνοῖσιν ᾤκει παρθένος·
δαίμων δ' ἕτερος
ἐς κακὸν τρέψαισ', ἐδαμάσ-
σατό νιν· καὶ γειτόνων
πολλοὶ ἐπαῦρον· ἁμᾶ
δ' ἔφθαρεν· πολλὰν δ' ἐν ὄρει πῦρ ἐξ ἑνὸς
σπέρματος ἐνθορὸν ἀΐστωσεν ὕλαν.
ἐπ. ἀλλ' ἐπεὶ τείχει θέσαν ἐν ξυλίνῳ
σύγγονοι κούραν· σέλας δ' ἀμφέδραμε
λάβρον ἁφαίστου, τότ' ἔει-
πεν ἀπόλλων, οὐκέτι
τλάσομαι ψυχᾷ γένος ἁμὸν ὀλέσαι
οἰκτροτάτῳ θανάτῳ
ματρὸς βαρείᾳ σὺν πάθᾳ.
ὣς φάτο. βάματι δ' ἐν
πρώτῳ κιχὼν παῖδ' ἐκ νεκροῦ
ἅρπασε· καιομένα
δ' αὐτῷ διέφαινε πυρά.
καὶ ῥά μιν μάγνητι φέρων
πόρε κενταύρῳ διδάξαι,
πολυπήμονας ἀν-
θρώποισιν ἰᾶσθαι νόσους.
γ'. τοὺς μὲν ὦν ὅσσοι μόλον αὐτοφύτων
ἑλκέων ξυνάονες, ἢ πολιῷ
χαλκῷ μέλη τετρωμένοι,

ἢ χερμάδι τηλεβόλῳ,
ἢ θερινῷ πυρὶ πὲρ
θόμενοι δέμας, ἢ
χειμῶνι, λύσαις ἄλλον ἀλ-
λοίων ἀχέων
ἔξαγεν, τοὺς μὲν μαλακαῖς
ἐπαοιδαῖς ἀμφέπων,
τοὺς δὲ προσανέα πί-
νοντας, ἢ γυίοις περάπτων πάντοθεν
φάρμακα. τοὺς δὲ τομαῖς ἔστασεν ὀρθούς.
ἀντ. ἀλλὰ κέρδει καὶ σοφία δέδεται.
ἔτραπε καὶ κεῖνον ἀγάνορι μι-
σθῷ, χρυσὸς ἐν χερσὶ φανείς,
ἄνδρ᾽ ἐκ θανάτου κομίσαι.
ἤδη ἑαλωκότα. χερ-
σὶ δ᾽ ἄρα κρονίων
ῥίψαις δι᾽ ἀμφοῖν. ἀμπνοὰν
στέρνων κάθελεν
ὠκέως. αἴθων δὲ κεραυ-
νὸς ἐνέσκιμψε μόρον.
χρὴ τὰ ἐοικότα παρ-
δαιμόνων μαστευέμεν θναταῖς φρεσί.
γνόντας τὸ πὰρ ποδός. οἵας εἰμὲν αἴσας
ἐπ. μὴ φίλα ψυχὰ βίον ἀθάνατον
σπεῦδε. τὰν δ᾽ ἔμπρακτον ἄντλει μαχα-
νάν. εἰ δὲ σώφρων ἄντρον ἔναιεν (ναὶ

ἔπι χείρων· καί τι οἱ
φίλτρον ἐν θυμῷ μελιγήρυες ὕμνοι
ἀμέτεροι τίθεν, ἰ-
ατῆρα τοι κέν μιν πίθον
καὶ νῦν ἐσλοῖσι παρα-
σχεῖν ἀνδράσι θερμᾶν νόσων,
ἤ τινα λατοΐδα
κεκλημένον· ἢ πατέρος·
καί κεν ἐν ναυσὶ μόλον, ἰ-
ονίαν τέμνων θάλασσαν
ἀρέθουσαν ἐπὶ κράναν
παρ' αἰτναῖον ξένον
ϛϛ. ὃς συρακόσσαισι νέμει βασιλεὺς
δ'. πραΰς ἀστοῖς, οὐ φθονέων ἀγαθοῖς
ξείνοις δὲ θαυμαστὸς πατὴρ
τῷ μὲν, διδύμας χάριτας·
εἰ κατέβαν, ὑγίει-
αν ἄγων χρυσέαν,
κῶμον τ' ἀέθλων πυθίων
αἴγλαν στεφάνοις.
τοὺς, ἀριστεύων φερένι-
κος ἕλε κίῤῥα ποτὲ,
ἀστέρος οὐρανίου
φαμὶ τηλαυγέστερον κείνῳ φάος
ἐξικόμαν κε, βαθὺν πόντον περάσας.
ἀντ. ἀλλ' ἐπεύξασθαι μὲν ἐγὼν ἐθέλω

ματρί, τὰν, κοῦραι παρ' ἐμὸν πρόθυρον
σὺν πανὶ μέλπονται θαμά,
σεμναὶ θεὸν ἐννύχιαι.
εἰ δὲ λόγων συνέμεν
κορυφὰν ἱέρων
ὀρθὰν ἐπίστα μανθάνων,
οἶσθα προτέρων
ἓν παρ' ἐσλὸν πήματα σύν
δυο δαίονται βροτοῖς
ἀθάνατοι. τὰ μὲν, ὦν
οὐ δύνανται νήπιοι κόσμῳ φέρειν
ἀλλ' ἀγαθοί. τὰ καλὰ τρέψαντες ἔξω.
ἐπ. τὶν δὲ μοῖρ' εὐδαιμονίας ἕπεται.
λαγέταν γάρ τοι τύραννον δέρκεται,
εἴ τιν' ἀνθρώπων, ὁ μέγας
πότμος. αἰὼν δ' ἀσφαλὴς
οὐκ ἔγεντ' οὔτ' αἰακίδᾳ παρ πηλεῖ,
οὔτε παρ' ἀντιθέῳ.
κάδμῳ. λέγονταί γε μὰν βροτῶν
ὄλβον ὑπέρτατον, οἳ
σχεῖν. οἵτε καὶ χρυσαμπύκων
μελπομενᾶν ἐν ὄρει
μοισᾶν, καὶ ἐν ἑπταπύλοις
ἄιον θήβαις, ὁπόθ' ἁρ-
μονίαν γᾶμεν βοῶπιν.
ὁ δὲ νηρέος εὐ-

βούλου θέτιν παῖδα κλυτάν.
στρ. έ. καὶ θεοὶ δαίσαντο παρ' ἀμφοτέροις.
καὶ κρόνου παῖδας βασιλῆας ἴδον
χρυσέαις ἐν ἕδραις. ἕδνα τε
δέξαντο. διὸς δὲ χάριν
ἐκ προτέρων μεταμει-
ψάμενοι καμάτων,
ἔστασαν ὀρθὰν καρδίαν.
ἐν δ' αὖτε χρόνῳ,
τὸν μὲν, ὀξείαισι θύγα-
τρες ἐρήμωσαν πάθαις
εὐφροσύνας μέρος. αἱ
τρεῖς ἀτὰρ λευκωλένῳ γε ζεὺς πατὴρ
ἤλυθεν ἐς λέχος ἱμερτὸν θυώνᾳ.
τοῦ δὲ παῖς, ὃν περ μόνον ἀθανάτα
ἀντ. τίκτεν ἐν φθίᾳ θέτις. ἐν πολέμῳ
τόξοις ἀπὸ ψυχὰν λιπὼν,
ὦρσεν πυρὶ καιόμενος
ἐκ δαναῶν γόον. εἰ
δὲ νόῳ τις ἔχει
θνατῶν ἀλαθείας ὁδὸν,
χρὴ πρὸς μακάρων
τυγχάνοντ' εὖ πασχέμεν. ἄλ-
λοτε δ' ἀλλοῖαι πνοαὶ
ὑψιπετᾶν ἀνέμων.
ὄλβος δ' οὐκ ἐς μακρὸν ἀνδρῶν ἔρχεται.

ὅς πολὺς εὖτ' ἂν ἐπιβρίσας ἕπηται
ἐπ. σμικρὸς ἐν σμικροῖς. μέγας ἐν μεγάλοις
ἔσομαι. τὸν δ' ἀμφέποντ' αἰεὶ φρεσὶ
δαίμον' ἀσκήσω, κατ' ἐμὰν
θεραπεύων μηχανάν.
εἰ δέ μοι πλοῦτον θεὸς ἁβρὸν ὀρέξαι,
ἐλπίδ' ἔχω κλέος εὑ-
ρέσθαι κεν ὑψηλὸν πρόσω.
νέστορα καὶ λύκιον
σαρπηδὸν ἀνθρώπων φάτις
ἐξ ἐπίων κέλαδεν-
νῶν, τέκτονες οἷα σοφοὶ
ἅρμοσαν. γινωσκομένα
δ' ἀρετὰ κλειναῖς ἀοιδαῖς
χρονία τελέθει.
παύροις δὲ πράξασθ' εὐμαρές.

ΑΡΚΕΣΙΛΑΩ. ΚΗΡΗΝΑΙΩι,
ΑΡΜΑΤΙ.
ΜΕΛΟΣ Δ'.
Στροφή.

σ ἅμερον μὲν χρή σε παρ' ἀνδρὶ φίλῳ
στᾶμεν εὐίππου βασιλῆϊ κυρά-
νας. ὄφρα κωμάζοντι σὺν ἀρκεσίλᾳ
μοῖσα λατοΐδαισιν ὀφειλόμενον
πυθῶνί τ' αὔξης οὖρον ὕμνων

ἔνθά ποτε χρυσίων
διὸς αἰητῶν πάρεδρος.
οὐκ ἀποδάμου ἀπόλλω-
νος τυχόντος ἱρέα
χρῆσεν οἰκιστῆρα βάττον
καρποφόρου λιβύας, ἱρὰν
νᾶσον ὡς ἤδη λιπὼν,
κτίσειεν εὐάρματον
πόλιν ἐν ἀργινόεντι μαστῷ.
ἀντ. καὶ τὸ μηδείας ἔπος ἀγκομίσαι
θ' ἑβδόμα καὶ σὺν δεκάτα γενεᾷ
θηραῖον. αἰήτα τό ποτε ζαμενὴς
παῖς ἀπέπνευσ' ἀθανάτου στόματος
δέσποινα κόλχων. εἶπε δ' οὕτως
ἡμιθέοισιν ἰά-
σονος αἰχματᾶο ναύταις
κέκλυτε παῖδες ὑπερ-
θύμων τε φωτῶν καὶ θεῶν
φαμὶ γὰρ τᾶς δ' ἐξ ἁλιπλάγ-
κτου ποτὲ γᾶς ἐπάφοιο κόραν
ἀστέων ῥίζαν φυτεύ-
σεσθαι μελησιμβρότων.
διὸς ἐν ἄμμωνος θεμέλοις.
ἐπ. ἀντὶ δελφίνων δ' ἐλαχυπτερύγων
ἵππους ἀμείψαντες θοάς,
ἀνίατ' ἀντ' ἐρετμῶν

δίφρους τε, νωμάσουσιν ἀελλόποδας.
κεῖνος ὄρνις ἐκ τελευτά-
σει μεγάλαν πολίων ματρόπολιν
θήραν γενέσθαι. τόν ποτε
τριτωνίδος ἐν προχοαῖς
λίμνασ, θεῷ ἀνδρὶ εἰδομένῳ
γαῖαν διδόντι ξένια
πρῴραθεν εὔφαμος καταβὰς
δέξατ'. αἴσιον δ' ἐπί οἱ κρονίων
ζεὺς πατὴρ ἔκλαγξε βροντάν.
στ. ἁνίκ' ἄγκυραν ποτὶ χαλκόγενυν
β'. ναὶ κριμνάντων ἐπίτασσε θοᾶσ
ἀργοῦς χαλινόν. δώδεκα δὲ πρότερον
ἁμέρασ ἐξ ὠκεανοῦ φέρομεν
νώτων ὕπερ γαίασ ἐρήμων
εἰνάλιον δόρυ, μή-
δεσιν ἀνασπάσαντες ἁμοῖς.
τουτάκι δ' οἰοπόλος
δαίμων ἐπῆλθε, φαιδίμαν
ἀνδρὸς αἰδοίου πρόσοψιν
θηκάμενος. φιλίων δ' ἐπέων
ἄρχεται. ξείνοις ἅτ' ἐλ-
θόντεσιν εὐεργέται
δεῖπν' ἐπαγγέλλοντι πρῶτον
ἀντ. ἀλλὰ γὰρ νόστου πρόφασις γλυκεροῦ
κώλυε μεῖναι. φάτο δ' εὐρύπυλος

γαιαόχου παῖς ἀφθίτου ἐννοσίδα
ἔμμεναι· γίγνωσκε δ' ἐπειγομένους·
αὐδ' εὐθὺς ἀρπάξας ἀρούρας
δεξιτερᾷ, προτυχὸν
ξένιον μάστευσε δοῦναι
οὐδ' ἀπίθησέ νιν. ἀλ-
λ' ἥρως ἐπ' ἀκταῖσιν θορὼν
χειρί οἱ χεῖρ' ἀντερείσας,
δέξατο βώλακα δαιμονίαν.
πεύθομαι δ' αὐτὰν κατα-
κλυσθεῖσαν ἐκ δούρατος.
ἐναλίᾳ βᾶμεν σὺν ἅλμᾳ
ἐπ. ἑσπέρας, ὑγρῷ πελάγει σπομέναν.
ἦ μάν μιν ὄτρυνον θαμὰ
λυσιπόνοις θεραπόν-
τεσσι φυλάξαι· τῶν δ' ἐλάθοντο φρένες,
καὶ νῦν ἐν τᾷδ' ἄφθιτον νά-
σῳ κέχυται λιβύας εὐρυχώρου
σπέρμα πρὶν ὥρας· εἰ γὰρ οἴ-
κοι νιν βάλε πὰρ χθόνιον
ἀΐδα στόμα, ταίναρον εἰς ἱερὰν
εὔφαμος ἐλθών, υἱὸς ἱπ-
πάρχου ποσειδάωνος ἄναξ.
τόν ποτ' εὐρώπα τιτυοῦ θυγάτηρ
τίκτε καφισοῦ παρ' ὄχθαις,
στ. γ'. τετράτων παίδων κ' ἐπιγινομένων

αἷμα οἱ κείναν λάβε σὺν δαναοῖς
εὐρεῖαν ἄπειρον· τότε γὰρ μεγάλας
ἐξανίστανται λακεδαίμονος· ἀρ-
γείου τε κόλπου, καὶ μυκηνᾶν
νῦν γε μὰν ἀλλοδαπᾶν
κειτὸν εὑρήσει γυναικῶν
ἐν λέχεσιν γένος· οἵ-
κεν τάνδε σὺν τιμᾷ θεῶν
νᾶσον ἐλθόντες, τέκωνται
φῶτα κελαινεφέων πεδίων
δεσπόταν· τὸν μὲν, πολυ-
χρύσῳ πότ' ἐνδώματι
φοῖβος ἀμνάσει θέμισσι·
ἀντ. πύθιον ναὸν καταβάντα χρόνῳ
δ' ὑστέρῳ νάεσσι πολεῖς ἀγαγὲν
νείλοιο πρὸς πῖον τέμενος κρονίδα
ἦ ῥα μηδείας ἐπέων στίχες· ἔ-
πταξαν δ' ἀκίνητοι σιωπᾷ
ἥρωες ἀντίθεοι.
πυκιναὶ μῆτιν κλύοντες
ὦ μάκαρ υἱὲ πολυ-
μνάστου, σὲ δ' ἐν τούτῳ λόγῳ
χρησμὸς ὤρθωσε μελίσσας
δελφίδος αὐτομάτῳ κελάδῳ·
ἅ σε χαίρειν ἐς τρὶς αὐ-
δάσαισα, πεπρωμένον

βασιλε' ἀμφανὲκ κυράνας,
ἐπ· δυσθρόου φωνᾶς ἀνακρινόμενον
ποινὰ τίς ἔσται πρὸς θεῶν
ἦ μάλα δὴ μετὰ καὶ
νῦν ὥστε φοινικανθέμου ἦρος ἀκμᾷ
παισὶ τούτοις ὄγδοον θάλ-
λει μέρος ἀρκεσίλας. τῷ μὲν ἀπόλ-
λων ἅ τε πυθὼ κῦδος ἐξ
ἀμφικτυόνων ἔπορεν
ἱπποδρομίας· ἀπὸ δ' αὐτὸν ἐγὼ
μοίσαισι δώσω, καὶ τὸ πάγ-
χρυσον νάκος κριοῦ· μετὰ γὰρ
κεῖνο πλευσάντων μινυᾶν. θεόπομ-
ποί σφισι τιμαὶ φύτευθεν
τίς γὰρ ἀρχὴ δέξατο ναυτιλίας·
ϛρ· δ'· τίς δὲ κίνδυνος κρατεροῖς ἀδάμαν-
τος δῆσεν ἅλοις· θέσφατον ἦν πελίαν
ἐξ ἀγαυῶν αἰολιδᾶν θανέμεν·
χείρεσσιν ἢ βουλαῖς ἀκνάμπτοις·
ἦλθε δέ οἱ κρυόεν
πυκινῷ μάντευμα θυμῷ
παρ μέσον ὀμφαλὸν εὐ-
δένδροιο ῥηθὲν ματέρος
τὸν μονοκρήπιδα πάντως
ἐν φυλακᾷ σχεθέμεν μεγάλᾳ.
εὖτ' ἂν αἰπεινῶν ἀπὸ

σταθμῶν ἐς εὐδείελον
χθόνα μόλῃ κλειτᾶς ἰωλκοῦ
ἀντ. ξεῖνος αἴτ᾽ ὦν ἀστός. ὁ δ᾽ ἄρα χρόνῳ
ἵκετ᾽ αἰχμαῖσι διδύμαισιν ἀνὴρ
ἔκπαγλος. ἐσθὰς δ᾽ ἀμφότερόν μιν ἔχεν
ἅ τε μαγνήτων ἐπιχώριος ἁρ-
μόζοισα θαητοῖσι γυίοις
ἀμφὶ δὲ παρδαλέα
στέγετο φρίσσοντας ὄμβρους
οὐδὲ κομᾶν πλόκαμοι
κερθέντες ᾤχοντ᾽ ἀγλαοὶ
ἀλλ᾽ ἅπαν νῶτον καταίθυσ-
σον. τάχα δ᾽ εὐθὺς ἰὼν σφετέρας
ἐστάθη γνώμας ἀταρ-
βάκτοιο, πειρώμενος
ἐν ἀγορᾷ πλήθοντος ὄχλου.
ἐπ. τὸν μὲν, οὐ γίνωσκον. ὀπιζομένων.
δ᾽ ἔμπας τίς εἶπε καὶ τόδε.
οὔ τι που οὗτος ἀπόλ-
λων. οὐδὲ μὰν χαλκάρματός ἐστι πόσις
ἀφροδίτας. ἐν δὲ νάξῳ
φαντὶ θανεῖν λιπαρᾷ ἰφιμεδεί-
ας παῖδας, ὦτον. καὶ σὲ τολ-
μάεις ἐφιάλτα ἄναξ
καὶ μὰν τιτυὸν βέλος ἀρτέμιδος
θήρευσε κραιπνὸν, ἐξ ἀνι-

κείνου φαρέτρας ὀρνύμενον
» ὄφρα τις τᾶν ἐν δυνατῷ φιλοτά-
» των ἐπιψαύειν ἔραται.
στρ. έ. τοὶ μὲν ἀλλάλοισιν ἀμειβόμενοι
γάρυον τοιαῦτ' ἀνὰ δ' ἡμιόνοις
ξεστᾶ τ' ἀπήνᾳ προτροπάδαν Πελίας
ἵκετο σπεύδων· τάφε δ' αὐτίκα πα-
πτάναις ἀρίγνωτον πέδιλον·
δεξιτερῷ μόνον ἀμ-
φὶ ποδί. κλέπτων δὲ θυμῷ
δεῖμα προσέννεπε· ποί-
αν γαῖαν ὦ ξεῖν' εὔχεαι
πατρίδ' ἔμμεν· καὶ τίς ἀνθρώ-
πων σε χαμαιγενέων πολιᾶς
ἐξανῆκε γαστρός. ἐ-
χθίστοισι μὴ ψεύδεσι
καταμιάναις εἰπὲ γένναν.
ἀντ. τὸν δὲ θαρσήσαις ἀγανοῖσι λόγοις,
ὧδ' ἀμείφθη. φαμὶ διδασκαλίαν
Χείρωνος οἴσειν· ἄντροθε γὰρ νέομαι
πὰρ Χαρικλοῦς καὶ φιλύρας· ἵνα κεν-
ταύρου με κοῦραι θρέψαν ἁγναί·
εἴκοσι δ' ἐκτελέσαις
ἐνιαυτοὺς, οὔτε ἔργον
οὔτ' ἔπος ἐντράπελον
κείνοισιν εἰπὼν, ἱκόμαν

οἴκαδ' ἀρχαίαν κομίζων
πατρὸς ἐμοῦ βασιλευομέναν
οὐ κατ' αἶσαν, τάν ποτε
Ζεὺς ὤπασε λαγέτᾳ
Αἰόλῳ καὶ παισὶ, τιμάν.
ἐπ. πεύθομαι γάρ μιν Πελίαν ἄθεμιν
λευκαῖς πιθήσαντα φρασὶν
ἁμετέρων ἀποσυ-
λάσαι βιαίως ἀρχεδικᾶν τοκέων.
τοί μ' ἐπεὶ πάμπρωτον εἶδον
φέγγος, ὑπερφιάλου ἁγεμόνος
δείσαντες ὕβριν, κᾶδος ὡ-
σεί τε φθιμένου δνοφερὸν
ἐν δώμασι θηκάμενοι, μίγα κω-
κυτῷ γυναικῶν, κρύβδαν πέμ-
πον σπαργάνοις ἐν πορφυρέοις,
νυκτὶ κοινάσαντες ὁδόν. Κρονίδᾳ
δὲ τράφεν Χείρωνι δῶκαν.
στρ. ς´. ἀλλὰ τούτων μὲν κεφάλαια λόγων
ἴστε. λευκίππων δὲ δόμους πατέρων,
κεδνοὶ πολῖται, φράσσατέ μοι σαφέως.
Αἴσονος γὰρ παῖς ἐπιχώριος, οὐ
ξείναν ἱκόμαν γαῖαν ἄλλων.
φὴρ δέ με θεῖος Ἰά-
σονα κικλήσκων προσηύδα.
ὣς φάτο. τὸν μὲν ἐσελ-

θόντ᾽ ἔγνων ὀφθαλμοὶ πατρὸς
ἐκ δ᾽ ἄρ᾽ αὐτοῦ πομφόλυξαν
δάκρυα γηραλέων βλεφάρων·
ἂν περὶ ψυχὰν ἐπεὶ
γάθησεν, ἐξαίρετον
γόνον ἰδὼν κάλλιστον ἀνδρῶν.
ἀντ. καὶ κασίγνητοι σφίσιν ἀμφότεροι
ἤλυθον κείνου γε κατὰ κλέος· ἐγ-
γὺς μὲν φέρης κράναν ὑπερηΐδα λιπών.
ἐκ δὲ μεσσάνας ἀμυθάν· ταχέως
δ᾽ ἄδματος ἷκεν, καὶ μέλαμπος·
εὐμενέοντες ἀνε-
ψιόν· ἐν δαιτὸς δὲ μοίρᾳ
μειλιχίοισι λόγοις
αὐτοὺς ἰάσων δέγμενος,
ξείνι᾽ ἁρμόζοντα τεύχων
πᾶσαν ἐς εὐφροσύναν τάνυεν,
ἀθρόαις πέντε δραπὼν
νύκτεσιν ἔνθ᾽ ἁμέραις
ἱερὸν εὐζωᾶς ἄωτον.
ἐπ. ἀλλ᾽ ἐν ἕκτα πάντα λόγον θέμενος
σπουδαῖον ἐξ ἀρχᾶς ἀνὴρ,
συγγενέσι παῖσι κοι-
νᾶθ᾽· οἱ δ᾽ ἐπίσποντ᾽· αἶψα δ᾽ ἀπὸ κλισιᾶν
ὦρτο σὺν κείνοισι· καί ῥ᾽ ἦλ-
θον πελία μέγαρον ἐσσύμενοι

δ᾽ ἔσω

δ' ἔσω κατέσταν. τῶν δ' ἀκού-
σαις αὐτὸς ὑπαντίασεν
τυροῦς ἐρασιπλοκάμου γενεά
πραῢν δ' Ἰάσων μαλθακᾷ
φωνᾷ ποτιστάζων ὄαρον,
βάλλετο κρηπῖδα σοφῶν ἐπέων.
παῖ ποσειδᾶνος πετραίου,
στρ. ζ. ἐντὶ μὲν θνατῶν φρένες ὠκύτεραι
» κέρδος αἰνῆσαι πρὸ δίκας δόλιον,
» τραχεῖαν ἑρπόντων πρὸς ἐπίβδαν δ' ὅμως
ἀλλ' ἐμὲ χρὴ καὶ σὲ θεμισσαμένους
ὀργὰς, ὑφαίνειν λοιπὸν ὄλβον.
εἰδότι τοι ἐρέω.
μιᾷ βοῦς κρηθεῖ τε μάτηρ
καὶ θρασυμήδει σαλ-
μωνεῖ. τρίταισι δ' ἐν γοναῖς
ἄμμες αὖ κείνων φυτευθέντες,
σθένος ἀελίου χρύσεον
λεύσσομεν. μοῖραι δ' ἀφί-
σταντ'. εἴ τις ἔχθρα πέλει.
ὁμογόνοις αἰδῶ καλύψαι.
ἀντ. οὐ πρέπει νῷν χαλκοτόροις ξίφεσιν.
οὐδ' ἀκόντεσσι μεγάλαν προγόνων
τιμὰν δάσασθαι. μῆλά τε γάρ τοι ἐγὼ
καὶ βοῶν ξανθὰς ἀγέλας ἀφίη
μ' ἀγρούς τε πάντας, τοὺς ἀπούρας

ἀματέρων τοκέων
νέμεαι, πλοῦτον πιαίνων·
κοὔ με πονεῖ τεὸν οἶ-
κον ταῦτα προσσώοντ' ἄγαν·
ἀλλὰ καὶ σκᾶπτον μόναρχον·
καὶ θρόνος. ᾧ ποτε κρηθεΐδας
ἐγκαθίζων ἱππόταις
εὔθυνε λαοῖσι δίκας
τὰ μὲν ἄνευ ξυνᾶς ἀνίας
ἐϖ· λῦσον ἄμμι· μή τι νεώτερον ἐξ
αὐτῶν ἀναστήσῃς κακόν·
ὣς ἄρ' ἔειπεν· ἀκᾶ
δ' ἀνταγόρευσε καὶ πελίας· ἔσομαι
τοιοῦτος· ἀλλ' ἤδη με γηραι-
ὸν μέρος ἁλικίας ἀμφιπολεῖ·
σὸν δ' ἄνθος ἥβας ἄρτι κυ-
μαίνει· δύνασαι δ' ἀφελεῖν
μᾶνιν χθονίων· κέλεται γὰρ ἑὰν
ψυχὰν κομίξαι φρίξος ἐλ-
θόντας πρὸς αἰήτα θαλάμους·
δέρμα τε κριοῦ βαθύμαλλον ἄγειν·
τῷ ποτ' ἐκ πόντου σαώθη,
55·ἤ· ἔκ τε ματρυιᾶς ἀθέων βελέων
ταῦτά μοι θαυμαστὸς ὄνειρος ἰὼν
φωνεῖ· μεμάντευμαι δ' ἐπὶ κασταλίᾳ
εἰ μεταλλατόν τι· καὶ ὡς τάχος ἐ-

τρύνει με τεύχειν ναῒ πομπάν.
τοῦτον ἄεθλον ἑκὼν
τέλεσον. καί τοι μοναρχεῖν
καὶ βασιλευέμεν ὄ-
μνυμι προήσειν. καρτερὸς
ὅρκος ἄμμι μάρτυς ἔστω
Ζεὺς ὁ γενέθλιος ἀμφοτέροις.
σύνθεσιν ταύταν ἐπαι-
νήσαντες. οἱ μὲν κρίθεν.
αὐτὰρ ἰάσων αὐτὸς ἤδη
ἀντ. ὄρνυεν κάρυκας, ἐόντα πλόον
φαινέμεν παντᾶ. τάχα δὲ κρονίδαο
ζηνὸς υἱοὶ τρεῖς ἀκαμαντομάχαι
ἦλθον, ἀλκμαίνας θ' ἑλικοβλεφάρου
λήδας τε. δοιοὶ δ' ὑψιχαῖται
ἀνέρες, ἐννοσίδα
γένος, αἰδεσθέντες ἀλκάν,
ἔκ τε πύλου καὶ ἀπ' ἄ-
κρας ταινάρου. τῶν μὲν, κλέος
ἐσλὸν εὐφάμου τ' ἐκράνθη.
σόν τε περικλύμεν' εὐρυβία.
ἐξ ἀπόλλωνος δὲ φορμικτὰς
ἀοιδᾶν πατὴρ ἔμολεν
εὐαίνητος ὀρφεύς.
ἐπ. πέμπε δ' ἑρμᾶς χρυσόραπις διδύμους
υἱοὺς ἐπάτρυτον πόνον,

τὸν μὲν, ἐχίονα κε-
χλάδοντας ἥβα, τόν δ' ἔρυτον. ταχέως
δ' ἀμφὶ παγγαίου θέμεθλα
ναιετάοντες ἔβαν. καὶ γὰρ ἑκὼν
θυμῷ γελανεῖ θᾶσσον ἔν-
τυνε βασιλεὺς ἀνέμων.
ζήταν κάλαΐν τε πατὴρ βορέας,
ἄνδρας πτεροῖσι νῶτα
πεφρίκοντας ἄμφω πορφυρέοις
τὸν δὲ παμπειθῆ γλυκὺν ἡμιθέοι-
στρ. θ'. σιν πόθον ἔνδαιεν ἥρα
ναὸς ἀργοῦς. μή τινα λειπόμενον
τὰν ἀκίνδυνον παρὰ ματρὶ μένειν.
αἰῶνα πέσσοντ'. ἀλλ' ἐπὶ καὶ θανάτῳ
φάρμακον κάλλιστον ἑᾶς ἀρετᾶς
ἅλιξιν εὑρέσθαι σὺν ἄλλοις
ἐς δ' ἰωλκὸν ἐπεὶ
κατέβαν αὐτῶν ἄωτος,
λέξατο πάντας ἐπαι-
νήσας ἰάσων. καὶ ῥά οἱ
μάντις ὀρνίχεσσι καὶ κλά-
ροισι θεοπρεπίων ἱεροῖς
μόμψος. ἄμβασε στρατὸν
πρόφρων. ἐπεὶ δ' ἐμβόλου
ἀντ. κρέμασαν ἀγκύρας ὕπερθεν,
χρυσέαν χείρεσσι λαβὼν φιάλαν

ἀρχὸς ἐν πρύμνᾳ· πατέρ' οὐρανιδᾶν
ἐγχεικέραυνον ζῆνα, καὶ ὠκυπόρους
κυμάτων ῥιπὰς ἀνέμων τ' ἐκάλει·
νύκτας τε καὶ πόντου κελεύθους,
ἄματά τ' εὔφρονα· καὶ
φιλίαν νόστοιο μοῖραν·
ἐκ νεφέων δέ οἱ ἀν-
τάϋσε βροντᾶς αἴσιον
φθέγμα· λαμπραὶ δ' ἦλθον ἀκτῖ-
νες στεροπᾶς ἀπορηγνύμεναι.
ἀμπνοὰν δ' ἥρωες ἔ-
στασαν θεοῦ σάμασιν
ἐπ. πειθόμενοι· κάρυξε δ' αὐτοῖς
ἐμβαλεῖν κώπαισι τερασκόπος, ἀ-
δείας ἐνίπτων ἐλπίδας
εἰρεσία δ' ὑπεχώ-
ρησε βραχειᾶν ἐκ παλαμᾶν ἄκορος.
σὺν νότου δ' αὔραις ἐπ' ἀξεί-
νου στόμα πεμπόμενοι ἤλυθον· ἔν-
θ' ἁγνὸν ποσειδάωνος ἕσ-
σαν τ' εἰναλίου τέμενος·
φοίνισσα δὲ θρηϊκίων ἀγέλα
ταύρων ὑπᾶρχεν· καὶ νεό-
κτιστον λίθινον βωμοῖο θέναρ
ἐς δὲ κίνδυνον βαθὺν ἱέμενοι,
στ. ί. δεσπόταν λίσσοντο ναῶν,

σὺν δρόμων κινηθμὸν ἀμαιμάκετον
ἐκφυγεῖν πετρᾶν. δίδυμαι γὰρ ἔσαν
ζωαί. κυλινδέσκοντο τε κραιπνότεραι,
ἢ βαρυγδούπων ἀνέμων στίχες. ἀλ-
λ' ἤδη τελευτὰν κεῖνος αὐταῖς
ἡμιθέων πλόος ἄ-
γαγεν. ἐς φᾶσιν δ' ἔπειτ' ἐ-
νήλυθον. ἔνθα κελαι-
νώπεσσι κόλχοισι βίαν
μίξαν αἰήτᾳ παρ' αὐτῷ
πότνια δ' ὀξυτάτων βελέων
ποικίλαν ἴϋγγα τε-
τράκναμον ὀλυμπόθεν
ἐν ἀλύτῳ ζεύξασα κύκλῳ,
ἀντ. μαινάδ' ὄρνιν κυπρογένεια φέρεν.
πρῶτον ἀνθρώποισι. λιτάς τ' ἐπαοι-
δὰς ἐκδιδάσκησεν σοφὸν αἰσονίδαν.
ὄφρα μηδείας τοκέων ἀφέλοι
τ' αἰδῶ. ποθεινὰ δ' ἑλλὰς αὐτὰν
ἐν φρεσὶ καιομέναν
δονέοι μάστιγι πειθοῦς.
καὶ τάχα πείρατ' ἀέ-
θλων δείκνυε πατρώων.
σὺν δ' ἐλαίῳ φαρμακώσαι-
σ' ἀντίτομα στερεᾶν ὀδυνᾶν,
δῶκε χρίεσθαι. καταί-

νησάν τε κοινὸν γάμον
ἐπ. γλυκὺν ἐν ἀλλάλοισι μίξαι,
ἀλλ' ὅτ' αἰήτας ἀδαμάντινον ἐν
μέσσοις ἄροτρον σκίμψατο,
καὶ βόας, οἱ φλόγ' ἀπὸ ξανθᾶν γενύ-
ων πνέον καιομένοιο πυρὸς,
χαλκέαις δ' ὁπλαῖς ἀράσσε-
σκον χθόν' ἀμειβόμενοι, τοὺς ἀγαγὼν
ζεύγλα πέλασε μοῦνος· ὀρ-
θὰς δ' αὔλακας ἐντανύσας
ἤλαυν' ἀνὰ βωλακίας δ' ὀργυι-
ὰν σχίζε νῶτον γᾶς. ἔει-
πεν δ' ὧδε. τοῦτ' ἔργον βασιλεὺς
ὅστις ἄρχει ναὸς ἐμοὶ τελέσας,
στ. ιά. ἄφθιτον στρωμνὰν ἀγέσθω
κῶας αἰγλᾶεν χρυσέῳ θυσάνῳ.
ὣς ἄρ' αὐδάσαντος, ἀπὸ κρόκεον
ῥίψας ἰάσων εἷμα, θεῷ πίσυνος
εἴχετ' ἔργου· πῦρ δέ νιν οὐ καὶ ὄλλει
παμφαρμάκου ξείνας ἐφετμαῖς.
σπασσάμενος δ' ἄροτρον
βοέοις δήσας ἀνάγκας
ἔντεσιν αὐχένας. ἐμ-
βάλλων τ' ἐριπλεύρῳ φυᾷ
κέντρον αἰανὲς βιατὰς,
ἐξεπόνησ' ἐπιτακτὸν ἀνήρ

μέτρον. ἤϋξεν δ' ἀφω-
νήτῳ περ ἔμπας ἄχει.
ἀντ. δύνασιν αἰήταο ἀγασθεὶς
πρὸς δ' ἑταῖροι καρτερὸν ἄνδρα φίλας
ὤρεγον χεῖρας. στεφάνοισί τέ μιν
ποίας ἔρεπτον. μειλιχίοις τε λόγοις
ἀγαπάζοντ' αὐτίκα δ' ἀελίου
θαυμαστὸς υἱὸς δέρμα λαμπρὸν
ἔννεπεν. ἔνθα νιν ἐκ-
τάνυσαν φρίξου μάχαιραι.
ἤλπετο δ' οὐκέτι οἱ
κεῖνόν γε πράξασθαι πόνον.
κεῖτο γὰρ λόχμα. δράκοντος
δ' εἴχετο λαβροτάταν γενύων.
ὃς πάχει μάκει τε πεν-
τηκόντορον ναῦν κράτει.
ἐπ. τέλεσαν ἂν πλαγαὶ σιδήρου
μακρά μοι νεῖσθαι κατ' ἀμαξιτόν. ὥ-
ρα γὰρ συνάπτει. καί τινα
οἶμον ἴσαμι βραχὺν
πολλοῖσι δ' ἄγημαι σοφίας ἑτέροις.
κτεῖνε μὲν γλαυκῶπα τέχναις
ποικιλόνωτον ὄφιν ὦ 'ρκεσίλα
κλέψεν τε μήδειαν σὺν αὐ-
τᾷ τὰν πελίαο φόνον.
ἔν τ' ὠκεανοῦ πελάγεσι μίγεν,

πόντῳ τ' ἐρυθρῷ, λημνιᾶν
τ' ἔθνει γυναικῶν ἀνδροφόνων.
ἔνθα καὶ γυίων ἀέθλοις ἐπεδεί-
ςς. ξαντο κρίσιν ἐσθᾶτος ἀμφίς.
ιϛ. καὶ συνεύναθεν· καὶ ἐν ἀλλοδαπαῖσ
πέρμ' ἀρούραισι τουτάκις ὑμετέρας
ἀκτῖνας ὄλβου δέξατο μοιρίδιον
ἆμαρ ἢ νύκτας· τόθι γὰρ γένος εὐ-
φάμου φυτευθὲν, λοιπὸν αἰεὶ
τέλλετο· καὶ λακεδαι-
μονίων μιχθέντες ἀνδρῶν
ἤθεσιν, ἔν ποτε καλ-
λίσταν ἀπώκησαν χρόνῳ
νᾶσον· ἔνθεν δ' ὔμμιν λατοΐ-
δας ἔπορεν λιβύας πεδίον.
σὺν θεῶν τιμαῖς ὀφέλ-
λειν, ἄστυ χρυσοθρόνου
ἀντ. διανέμειν θεῖον κυράνας,
ὀρθόβουλον μῆτιν ἐφευρομένοις.
γνῶθι νῦν τὰν οἰδιπόδα σοφίαν.
εἰ γάρ τις ὄζους ὀξυτόμῳ πελέκει
ἐξερείψαι κεν μεγάλας δρυὸς, αἰ-
σχύνοι δέ οἱ θαητὸν εἶδος
καὶ φθινόκαρπος ἐοῖ-
σα, δίδοι ψᾶφον περ' αὐτᾶς,
εἴ ποτε χειμέριον

πῦρ ἐξίκηται λοίσθιον,
ἢ σὺν ὀρθαῖς κιόνεσσι
δεσποσύναισιν ἐρειδομένα.
μόχθον ἄλλοις ἀμφέπει
δύστανον ἐν τείχεσιν,
ἐπ. ἑὸν ἐρημώσαισα χῶρον
ἐσσὶ δ' ἰατὴρ ἐπικαιρότατος.
παιάν τέ σοι τιμᾷ φάος.
χρὴ μαλακὰν χεῖρα προσ-
βάλλοντα, τρώμαν ἕλκεος ἀμφιπολεῖν.
ῥᾴδιον μὲν γὰρ πόλιν σεῖ-
σαι καὶ φαυροτέροις. ἀλλ' ἐπὶ χώ-
ρας αὖθις ἕσσαι, δυσπαλὲς
δὴ γίνεται ἐξαπίνας.
εἰ μὴ θεὸς ἀγεμόνεσσι κυβερ-
νατὴρ γένηται. τὶν δὲ τού-
των ἐξυφαίνονται χάριτες
τλᾶθι τᾶς εὐδαίμονος ἀμφὶ κυρά-
ςρ. νας θέμεν σπουδὰν ἅπασαν.
ιγ. τῶν δ' ὁμήρου καὶ τόδε συνθέμενος,
ῥῆμα πόρσυν' ἄγγελον ἐσλὸν ἔφα
τιμὰν μεγίσταν πράγματι παντὶ φέρειν.
αὔξεται καὶ μοῖσα δι' ἀγγελίας
ὀρθᾶς. ἐπέγνω μὲν κυράνα
καὶ τὸ κλεεννότατον
βάττου μέγαρον, δικαιᾶν,

δαμοφίλου πραπίδων
κεῖνος γὰρ ἐν παισὶ νέος·
ἐν δὲ βουλαῖς πρέσβυς, ἐγκύρ-
σας ἑκατονταετεῖ βιοτᾷ
ὀρφανίζει μὲν κακὰν
γλῶσσαν φαεννᾶς ὀπός
ἀντ. ἔμαθε δ' ὑβρίζοντα μισεῖν·
οὐκ ἐρίζων ἀντία τοῖς ἀγαθοῖς
οὐδὲ μακύνων τέλος οὐδέν· ὁ γὰρ
καιρὸς πρὸς ἀνθρώπων βραχὺ μέτρον ἔχει.
εὖ νιν ἔγνωκε· θεράπων δέ οἱ οὐ
δράστας ὀπαδεῖ· φαντὶ δ' ἔμμεν
τοῦτ' ἀνιαρότατον,
καλὰ γινώσκοντ' ἀνάγκα
ἐκτὸς ἔχειν πόδα· καὶ
μὰν κεῖνος ἄτλας οὐρανῷ
προσπαλαίει νῦν γε πατρῴ-
ας ἀπὸ γᾶς ἀπό τε κτεάνων
λῦσε δὲ ζεὺς ἄφθιτος
τιτᾶνας· ἐν δὲ χρόνῳ
ἐπ. μεταβολαί. λήξαντος οὔρου
ἱστίων. ἀλλ' εὔχεται οὐλομέναν
νοῦσον διαντλήσας ποτὲ
οἶκον ἰδεῖν. ἐπ' ἀπόλ-
λωνός τε κράνα συμποσίας ἐφέπων
θυμὸν ἐκδόσθαι πρὸς ἥβαν.

πολλάκις οὔτε σοφοῖς δαιδαλέαν
φόρμιγγα βαστάζων πολί-
ταις ἡσυχίᾳ θιγέμεν·
μήτ' ὦν τινι πῆμα πορὼν ἀπαθὴς
δ' αὐτὸς πρὸς ἀστῶν· καί κε μυ-
θήσαιθ' ὁποίαν ἀρκεσίλα
εὗρε παγὰν ἀμβροσίων ἐπίων,
πρόσφατον θήβᾳ ξενωθείς.

ΤΩ͂ι ΑΥΤΩ͂ι ΑΡΜΑΤΙ· ΜΕΛΟΣ Ε.

Στροφή.

" ὁ πλοῦτος εὐρυσθενὴς,
" ὅταν τις ἀρετᾷ κεκρα-
" μένον καθαρᾷ βροτήσιος ἀνὴρ,
" πότμου παραδόντος αὐτὸν ἀνάγει
" πολύφιλον ἑπέταν,
ὦ θεόμοιρ' ἀρκεσίλα.
σύ τοί νιν κλυτᾶς
αἰῶνος ἄκραν βαθμίδων
ἄπο· σὺν εὐδοξίᾳ
μετανίσεαι ἕκατι χρυ-
σαρμάτου κάστορος.
εὐδίαν ὃς μετὰ χειμέριον
ὄμβρον· τεὰν καταιθύσ-

ἀντ. σει μάκαιραν ἑστίαν·
» σοφοὶ δέ τι κάλλιον
» φέροντι καὶ τὰν θεόσ-
» δοτον δύναμιν. σὲ δ' ἐρχόμενον ἐν
δίκᾳ πολὺς ὄλβος ἀμφινέμεται.
τὸ μὲν, ὅτι βασιλεὺς ἐσσὶ μεγάλαν πολίων
ἔχει συγγενὴς
ὀφθαλμὸς αἰδοιέστατον
γέρας· τεᾷ τοῦτο μι-
γνύμενον φρενί. μάκαρ δὲ καὶ
νῦν, κλεεννᾶς ὅτι
εὖχος ἤδη παρὰ πυθιάδος
ἵπποις ἑλὼν, δέδεξαι
ἐπ. τόνδε κῶμον ἀνέρων
ἀπολλώνιον ἄθυρμα· τῷ μὴ
σε λαθέτω κυράνα,
γλυκὺν ἀμφὶ κᾶπον
ἀφροδίτας ἀειδόμενον.
παντὶ μὲν θεὸν αἴτιον ὑπερτιθέμεν.
φιλεῖν δὲ κάρρωτον ἔξοχ' ἑταίρων.
ὃς οὐ τὰν ἐπιμηθέος
ἄγων ὀψινόου θυγατέρα πρό-
φασιν, βαττιαδᾶν
ἀφίκετο δόμους θέμις κρεόντων.
ἀλλ' ἀρισθάρματον,
ὕδατι κασταλίας

ξενωθεὶς, γέρας ἀμ-
φέβαλε τεαῖσι κόμαις
στρ. ϛ'. ἀκηράτοις ἁνίαισι,
ποδαρκέων δώδεκα-
δρόμων τέμενος. κατέκλασε γὰρ ἐν
τέων σθένος οὐδέν. ἀλλὰ κρέμαται,
ὁπόσα χειραρᾶν
τεκτόνων δαιδάλματ' ἄγων
κρισαῖον λόφον
ἄμειψεν ἐν κοιλόπεδον
νάπος θεοῦ. τό σ' ἔχει
κυπαρίσσινον μέλαθρον ἀμ-
φ' ἀνδριάντι σχεδόν.
κρῆτες ὃν τοξοφόροι τέγει
παρνασσίῳ καθέσσαν-
το μονόδροπον φυτόν.
ἀντ. ἑκόντι τοίνυν πρέπει
νόῳ τὸν εὐεργέταν
ὑπαντιάσαι. ἀλεξιβιάδα
σὲ δ' ἠΰκομοι φλέγοντι χάριτες
μακάριος. ὃς ἔχεις
καὶ μετὰ μέγαν κάματον
λόγων φερτάτων
μναμήϊεν. ἐν τεσσαράκον-
τα γὰρ πετόντεσσιν ἁ-
νιόχοισιν, ὅλον δίφρον κομί-

ξαις ἀταρβεῖ φρενὶ,
ἦλθες ἤδη λιβύας πεδίον,
ἐξ ἀγλαῶν ἀέθλων,
ἐπ. καὶ πατρῴαν πόλιν.
πόνων δ' οὔ τις ἀπόκλαρός ἐστιν.
οὔτ' ἔσεται. ὁ βάττου
δ' ἕπεται παλαιὸς ὄλβος,
ἔμπας τὰ καὶ τὰ, νέμων
πύργος ἄστεος. ὄμματε φαεννότατον
ξένοισι. κεῖνόν γε καὶ βαρύκομποι
λέοντες περὶ δείματι
φύγον γλῶσσαν. ἐπεί σφιν ἀπένεικεν
ὑπερποντίαν
ὁ δ' ἀρχαγέτας δῶκεν ἀπόλλων
θῆρας αἰνῷ φόβῳ.
ὄφρα μὴ ταμία
κυράνας, ἀτελὴς
στρ. γ'. γένοιτο μαντεύμασιν.
ὃ καὶ βαρειᾶν νόσων
ἀκέσματ' ἄνδρεσσι καὶ
γυναιξὶ νέμει. πόρεν τε κίθαριν.
δίδωσί τε μοῖσαν οἷς ἂν ἐθέλῃ,
ἀπόλεμον ἀγαγὼν
ἐς πραπίδας εὐνομίαν.
μυχόν τ' ἀμφέπει.
μαντήϊον. τῷ καὶ

λακεδαίμονι· ἔν τ' ἄργει· καὶ
ζαθέᾳ πύλῳ, ἔνασσεν ἀλ-
κᾶντας ἡρακλέος
ἐκγόνους, αἰγιμιοῦ τε. τὸ δ' ἐ-
μὸν γαρύετ' ἀπὸ σπάρ-
τας ἐπήρατον κλέος·
ἀντ. ὅθεν γεγεναμένοι
ἵκοντο θήρανδε φῶ-
τες αἰγεΐδαι. ἐμοὶ πατέρες, οὐ
θεῶν ἄτερ. ἀλλὰ μοῖρά τις ἄγεν
πολύθυτον ἐς ἔρανον.
ἔνθεν ἀναδεξάμενοι
ἄπολλον τεᾷ
καρνεῖ. ἐν δαιτὶ σεβί-
ζομεν κυράνας ἀγα-
κτιμέναν πόλιν· ἔχοντι τάν·
χαλκοχάρμαι ξένοι
τρῶες ἀντανορίδαι· σὺν ἑλέ-
νᾳ γὰρ μόλον, καπνωθεῖ-
ἐπ. σαν πάτραν ἐπεὶ ἴδον
ἐν ἄρει· τὸ δ' ἐλάσιππον ἔθνος
ἐνδυκέως δέκονται
θυσίαισιν, ἄνδρες
οἰχνέοντές σφε δωροφόροι
τοὺς ἀριστοτέλης ἄγαγε ναυσὶ θοαῖς,
ἁλὸς βαθεῖαν κέλευθον ἀνοίγων
κτίσεν

κτίσεν δ' ἄλσια μείζονα
θεῶν. εὐθύτομόν τε κατέθηκεν
ἀπολλωνίαις
ἀλεξιμβρότοις πεδιάδα πομπαῖς,
ἔμμεν ἱππόκροτον
σκυρωτὰν ὁδόν. ἔν-
θα πρυμνοῖς ἀγορᾶς
ἐπίδιχα κεῖται θανὼν
στρ. μάκαρ μὲν ἀνδρῶν μέτα
ἔναιεν. ἥρως δ' ἔπειτα
λαοσεβής. ἄτερθε δὲ πρὸ δω-
μάτων ἕτεροι λαχόντες ἀΐδαν
βασιλέες ἱεροὶ
ἐντί. μεγάλαν δ' ἀρετὰν
δρόσῳ μαλθακᾷ
ῥανθεῖσαν κώμων ὑπὸ χεύ-
μασιν, ἀκούοντί ποι
χθονίᾳ φρενὶ, σφὸν ὄλβον, υἱ-
ῷ τε κοινὰν χάριν
ἔνδικόν τ' ἀρκεσίλᾳ. τὸν, ἐν ἀ-
οιδᾷ νέων πρέπει χρυ-
ἀντ. σάορα φοῖβον ἀπύειν,
ἔχοντα πυθωνόθεν
τὸ καλλίνικον λυτή-
ριον δαπανᾶν μέλος χαρίεν. ἄν-
δρα κεῖνον ἐπαινέοντι συνετοὶ

λεγόμενον ἐρέω
κρέσσονα μὲν ἁλικίας
νόον φέρβεται,
γλῶσσάν τε· θάρσος τε τανύ-
πτερος ἐν ὄρνιξιν αἰ-
ετὸς ἔπλετο· ἀγωνίας
δ' ἔρκος· οἷον σθένος
ἔν τε μοίσαισι ποτηνὸς ἀπὸ
ματρὸς φίλας· πέφανταί
ἐπ. θ' ἁρματηλάτας σοφὸς
ὅσαι τ' εἰσὶν ἐπιχωρίων κα-
λῶν ἔσοδοι, τετόλμα-
κε, θεός τέ οἱ τὸ
νῦν τε πρόφρων τελεῖ δύνασιν
καὶ τὸ λοιπὸν ὦ κρονίδαι μάκαρες,
διδοῖτ' ἐπ' ἔργοισιν ἀμφί τε βουλαῖς
ἔχειν· μὴ φθινοπωρὶς ἀ-
νέμων χειμερία κατὰ πνοὰ δα-
μαλίζοι χρόνον·
διός τοι νόος μέγας κυβερνᾷ
δαίμον' ἀνδρῶν φίλων·
εὔχομαί νιν ὀλυμπί-
α τοῦτο δόμεν
γέρας ἐπὶ βάττου γένει·

ΞΕΝΟΚΡΑΤΕΙ ΑΚΡΑΓΑΝΤΙΝΩι ΑΡΜΑΤΙ.
ΜΕΛΟΣ ς'.

Στροφή.

ἀ κούσατ'. ἦ γὰρ ἑλικώπιδος ἀφροδίτας
ἄρουραν, ἢ χαρίτων ἀναπολίζομεν.
ὀμφαλὸν ἐριβρόμου χθονὸς
ἐς ναὸν προσοιχόμενοι πυθιόνικος
ἔνθ' ὀλβίοισιν ἐμμενίδαις,
ποταμίᾳ τ' ἀκράγαντι, καὶ μὰν ξενοκράτει
ἑτοῖμος ὕμνων
θησαυρὸς ἐν πολυχρύσῳ
ἀπολλωνίᾳ τετείχισται νάπᾳ.
ἀντ. τὸν, οὔτε χειμέριος ὄμβρος ἐπακτὸς ἐλθών.
ἐριβρόμου νεφέλας στρατὸς ἀμείλιχος,
οὔτ' ἄνεμος ἐς μυχοὺς ἁλὸς
ἄξει, παμφόρῳ χεράδι τυπτόμενος. φά-
ει δὲ πρόσωπον ἐν καθαρῷ.
πατρὶ τεῷ θρασύβουλε κοινά τε γενεᾷ,
λόγοισι θνατῶν
εὔδοξον ἅρματι νίκαν
κρισαίαισιν ἐνὶ πτυχαῖσιν ἀπαγγελεῖ.
στρ. β'. σύ τοι σχέθων νιν ἐπὶ δεξιὰ χειρὸς ὀρθὰν
ἄγεις ἐφημοσύναν. τάν ποτ' ἐν οὔρεσιν
φαντὶ μεγαλοσθενεῖ φιλύ-

ρας ὑιὸν ὀρφανιζομένῳ πηλεΐδᾳ πα-
ραινεῖν, μάλιστα δὲ κρονίδαν
βαρυοπᾶν στεροπᾶν κεραυνῶν τε
πρύτανιν θεῶν σέβεσθαι.
ταύτας δὲ μή ποτε τιμᾶς
ἀμείρειν γονέων βίον πεπρωμένον
ἀντ. ἔγεντο καὶ πρότερον ἀντίλοχος βιατὰς,
νόημα τοῦτο φέρων· ὃς ὑπερέφθιτο
πατρὸς ἐναρίμβροτον ἀνα-
μείναις ἄρχον αἰθιόπων μέμνονα. νεσό-
ρειον γὰρ ἵππος ἅρμ᾽ ἐπέδα,
πάριος ἐκ βελέων δαϊχθείς. ὁ δ᾽ ἔφεπεν
κραταιὸν ἔγχος
μεσσανίου δὲ γέροντος
δοναθεῖσα φρὴν, βόασε παῖδα ἕν.
στρ. γ'. χαμαιπετὲς δ᾽ ἄρ᾽ ἔπος, οὐκ ἀπέριψεν αὐτοῦ
μένων δ᾽ ὁ θεῖος ἀνὴρ, πρίατο μὲν θανά-
τοιο κομιδὰν πατρός. ἐδό-
κησε τῶν πάλαι γενεᾷ ὁπλοτέροισιν
ἔργον πελώριον τελέσας,
ὕπατος ἀμφὶ τοκεῦσιν ἔμμεν πρὸς ἀρε-
τά μὲν παρήκει. (τάν.
τῶν νῦν δὲ καὶ θρασύβουλος
πατρῴαν μάλιστα πρὸς στάθμαν ἔβα.
ἀντ. πάτρῳ τ᾽ ἐπερχόμενος ἀγλαΐαν ἔδειξεν
ἅπασαν. νόῳ δὲ πλοῦτον ἄγει, ἄδικον οὔτε

ὑπέροπλον ἥβαν δρέπων· σοφί-
αν δ' ἐν μυχοῖσι πιερίδων.
τίν τ' ἐλέλιχθον ὀργαῖς ὃς ἱππείαν
ἔσοδον μάλα ἁδόντι νόῳ
ποσειδᾶν προσέρχεται. γλυκεῖα δὲ φρὴν
καὶ συμπόταισιν ὁμιλεῖν.
μελισσᾶν ἀμείβεται τρητὸν πόνον.

ΜΕΓΑΚΛεῖ ἀθηναίῳ ἵπποις· ὀλύμ-
πια· πύθια. ἴσθμια.

ΜΕΛΟΣ ζ΄.

Στροφή.

ἄλλιστον αἱ μεγαλοπόλιες ἀθᾶναι
η προοίμιον ἀλκμανιδᾶν
εὐρυσθενεῖ γενεᾷ, κρηπῖδ' ἀοιδᾶν
ἵπποισι βαλέσθαι. ἐπεὶ
τίνα πάτραν, τίνα τ' οἶκον
ναίων ὀνυμάξομαι
ἐπιφανέστερον ἑλλάδι πυθέσθαι.
ἀντ. πάσαισι γὰρ πολίεσι λόγος ὁμιλεῖ
ἐρεχθέος ἀστῶν· ἀπόλ-
λων, οἳ τεὸν δόμον πυθῶνι δία
θαητὸν ἔτευξαν ἄγον-
τι δέ με πέντε μὲν ἰσθμοῖ
νῖκαι· μία δ' ἐκπρεπὴς

διὸς ὀλυμπιὰσ, δύο δ' ἀπὸ κίῤῥασ,
ἐπ. ὦ μεγάκλεες ὑ-
μαί τε, καὶ προγόνων.
νέᾳ δ' εὐπραγίᾳ
χαίρω τι, τὸ δ' ἄχνυμαι,
φθόνον ἀμειβόμενον
τὰ καλὰ ἔργα. φαντί γε μὰν
οὕτω κεν ἀνδρὶ παρμονίμαν
θάλλοισαν εὐδαιμονίαν,
τὰ καὶ τὰ φέρεσθαι.

ΑΡΙΣΤΟΜΕΝΕΙ ΑΙΓΙΝΗΤΗ, ΠΑΛΑΙΣΤΗ. ΜΕΛΟΣ Η'.

Στροφή.
ιλόφρον ἡσυχία δίκασ
φ ὦ μεγιστόπολι
θύγατερ, βουλᾶν τε καὶ πολέμων
ἔχοισα τὰς κλαΐδας
ὑπερτάτας, πυθιόνικον
τιμὰν ἀριστομένει
δέκευ. τὺ γὰρ τὸ μαλθακὸν ἔρξαι
τε καὶ παθεῖν ὁμῶς ἐπίστασαι
καιρῷ σὺν ἀτρεκεῖ.
ἀντ. τὺ δ' ὁπόταν τις ἀμείλιχον

καρδίᾳ κότον ἐ-
νελάσῃ τραχεῖα δυσμενέων
ὑπαντιάξασα
κράτει, τιθεῖς ὕβριν ἐν ἄντλῳ·
τὰν, οὐ δὲ πορφυρίων
μάθεν παρ' αἶσαν ἐξερεθίζων
κέρδος δὲ φίλτατον γε. ἑκόντος εἴ-
τις ἐκ δόμων φέροι
ἐπ. βία δὲ καὶ μεγάλαυχον ἔσφα-
λεν ἐν χρόνῳ· τυφὼς κίλιξ ἑκατονκάρα
νος οὔ μιν ἄλυξεν
οὐ δὲ μὰν βασιλεὺς γιγάντων
δμᾶθεν δὲ κεραυνῷ
τόξοισί τ' ἀπόλλω-
νος· ὃς εὐμενεῖ νόῳ
ξεναρκειον ἔδεκτο κίρ-
ραθεν ἐστεφανωμένον
υἱὸν, ποίᾳ παρνασίᾳ
δωριεῖ τε κώμῳ·
στ. β'. ἔπεσε δ' οὐ χαρίτων ἑκὰς
ἁ δικαιόπολις·
ἀρεταῖς κλειναῖσιν αἰακιδᾶν
θιγοῖσα νᾶσος· τε-
λέαν δ' ἔχει δόξαν ἀπ' ἀρχᾶς
πολλοῖσι μὲν γὰρ ἀεί-
δεται νικαφόροις ἐν ἀέθλοις·

θρέψασα καὶ θοαῖς ὑπὲρ παῖδας
ἥρωας ἐν μάχαις·
ἀντ. τὰ δὲ ἐν ἀνδράσιν ἐμπρέπει·
εἰμὶ δ' ἄσχολος ἀ-
ναθέμεν πᾶσαν μακραγορίαν·
λύρα τε καὶ φθέγματι
μαλθακῷ· μὴ κόρος ἐλθὼν
κνίσῃ· τὸ δ' ἐν ποσίμοι
ἴτω ςφάχον τεὸν χρέος ὦ παῖ
νεώτατον καλῶν, ἐμᾷ ποτα-
νὸν ἀμφὶ μαχανᾷ
ἐπ. παλαισμάτεσσι τε γὰρ ἰχνεύων μα-
τραδελφεοὺς, ὀλυμπίᾳ τε θεόγνη-
τον τ' οὐ κατελέγχεις,
οὐ δὲ κλειτομάχοιο νίκαν
ἰσθμοῖ θρασύγυιον
αὔξων δὲ πάτραν μει-
δυλιδᾶν, λόγον φέρεις
τὸν, ὅν περ ποτ' ὀϊκλέος
παῖς, ἐν ἑπταπύλοις ἰδὼν
υἱοὺς θήβαις, αἰνίξατο,
παρμένοντας αἰχμᾷ,
στρ. γ΄. ὁπότ' ἀπ' ἄργεος ἤλυθον
δευτέραν ὁδὸν ἐ-
πίγονοι. ὧδ' εἶπε μαρναμένων·
φυᾷ τὸ γενναῖον·

ἐπιπρέπει ἐκ πατέρων παι-
σὶν λῆμα· θεάομαι
σαφὲς δράκοντα ποικίλον αἰθᾶς
ἀλκμᾶν' ἐπ' ἀσπίδος νωμῶντα πρῶ-
τον ἐν κάδμου πύλαις
ἀντ. ὁ δὲ καμὼν προτέρᾳ πάθᾳ·
νῦν ἀρείονος ἐ-
νέχεται ὄρνιχος ἀγγελίᾳ
ἄδραστος ἥρως· τὸ
δὲ οἴκοθεν ἀντία πράξει.
μοῦνος γὰρ ἐκ δαναῶν
στρατοῦ, θανόντος ὀστέα λέξαις
υἱοῦ, τύχᾳ θεῶν ἀφίξεται
λεῷ σὺν ἀβλαβεῖ
ἐπ. ἄβαντος εὐρυχόρους ἀγυιάς.
τοιαῦτα μὲν ἐφθέγξατ' ἀμφιάρηος.
χαίρων δὲ καὶ αὐτὸς
ἀλκμᾶνα στεφάνοισι βάλλω
ῥαίνω δὲ καὶ ὕμνῳ.
γείτων ὅτι μοι καὶ
κτεάνων φύλαξ ἐμῶν
ὑπαντίασεν ἰόντι γαίας
ὀμφαλὸν παρ' ἀοίδιμον
μαντευμάτων τ' ἐφάψατο
συγγόνοισι τέχναις.
στρ. δ. τὺ δ' ἑκαταβόλε πάνδοκον

ναὶν εὐκλέα δι-
ανέμων πυθῶνος ἐν γυάλοις,
τὸ μὲν μέγιςον τό-
θι χαρμάτων ὤπασας· οἴκοι
δὲ πρόσθεν ἀρπαλέαν
δόσιν πενταεθλίου σὺν ἑορταῖς
ὑμαῖς ἐπάγαγες τ᾽ ἄναξ· ἑκόν-
τι δ᾽ εὔχομαι νόῳ,
ἀντ. κατά τιν᾽ ἀρμονίαν βλέπειν.
ἀμφ᾽ ἕκαςον ὅσα
νέομαι· κώμῳ μὲν ἀδυμελεῖ
δίκα παρέςακεν
θεῶν δ᾽ ὄπιν ἄφθιτον αἰτέω
ξέναρκες ὑμετέραις
τύχαις· εἰ γάρ τις ἐσλὰ πέπαται
μὴ ξὺν μακρῷ χρόνῳ, πολλοῖς σοφὸς
δοκεῖ πεδ᾽ ἀφρόνων
ἐπ. βίον κορυσσέμεν ὀρθοβούλοι
σι μαχαναῖς· τὰ δ᾽ οὐκ ἐπ᾽ ἀνδράσι κεῖται
δαίμων δὲ παρίσχει·
ἄλλοτ᾽ ἄλλον ὕπερθε βάλλων·
ἄλλον δ᾽ ὑπὸ χειρῶν
μέτρον καταβαίνει·
μεγάροις δ᾽ ἔχεις γέρας
μυχῷ τ᾽ ἐν μαραθῶνος· ἥ-
ρας τ᾽ ἀγὼν ἐπιχώριον·

νίκαισι τρισσαῖς ὠ ἀριστόμε-
νες δάμασας ἔργῳ
στρ. έ. τέτρασι δ' ἔμπετες ὕψοθεν
σωμάτεσσι. κακὰ
φρονέων. τοῖς, οὔτε νόστος ὁμῶς
ἔπαλπνος ἐν πυθι-
άδι κρίθη. οὐδὲ μολόντων
πὰρ ματέρ' ἀμφὶ γέλως
γλυκὺς ὦρσε χάριν. κατὰ λαύρας
δ' ἐχθρῶν ἀπ' ἄορι πτώσσοντι.
συμφορᾷ δεδαϊγμένοι.
ἀντ. ὁ δὲ καλόν τι νέον λαχὼν
ἁβρότατος ἔπι
μεγάλας, ἐξ ἐλπίδος πέταται.
ὑποπτέροις ἀνο-
ρέαις ἔχων κρέσσονα τέρψιν
πλούτου ἐν δ' ὀλίγῳ
βροτῶν τὸ τερπνὸν αὔξεται. οὕτω
δὲ καὶ πιτνεῖ χαμαί. ἀποτρόπῳ
γνώμᾳ σεσεισμένον
ἐπ. ἐπάμεροι. τί δὲ τίς. τί δ' οὔ τις.
σκιᾶς ὄναρ ἄνθρωποι. ἀλλ' ὅταν αἴγλα
διόσδοτος ἔλθῃ,
λαμπρὸν ἔπεστι φέγγος ἀνδρῶν
καὶ μείλιχος αἰών.
αἴγινα φίλα μᾶ-

τὸρ ἐλευθέρῳ στόλῳ
πόλιν τάνδε κόμιζε,
δὶ καὶ κρέοντι σὺν αἰακῷ
πηλεῖ τε, καρίσῳ δὴ τελα-
μῶνι, σύν τ᾽ ἀχιλλεῖ.

ΤΕΛΕσικράτῃ κυρηναίῳ
ὁπλιτοδρόμῳ.
ΜΕΛΟΣ θ΄.

ΣΤΡΟΦΗ.

ἐ θέλω χαλκάσπιδα πυθιονίκαν
σὺν βαθυζώνοισιν ἀγγέλλων τελεσι
κράτη χαρίτεσσι γεγωνεῖν,
ὄλβιον ἄνδρα διω-
ξίππου στεφάνωμα κυράνας
τὰν ὁ χαιτάεις ἀνεμο-
σφαράγων ἐκ παλίου κόλπων
ποτὲ λατοΐδας
ἅρπασεν. ἰῷ ἔνεικέ τε χρυσέῳ
παρθένον ἀγροτέραν
δίφρῳ. τόθι νιν πολυμήλου
καὶ πολυκαρποτάτας
θῆκε δέσποιναν χθονὸς
ῥίζαν ἀπείρου τρίταν
εὐήρατον θάλλοισαν οἰκεῖν.

ἀντ. ὑπέδεκτο δ' ἀργυρόπεζ' ἀφροδίτα
δήλιον ξεῖνον, θεοδμάτων ὀχέων
ἐφαπτομένα χειρὶ κοῦφα·
καί σφιν ἐπὶ γλυκεραῖς
εὐναῖς ἐρατὰν βάλεν αἰδῶ,
ξυνὸν ἁρμόζοισα θεῷ
τε γάμον μιχθέντι, κούρᾳ θ'
ὑψέος εὐρυβία·
ὃς λαπιθάων ὑπερόπλων
τουτάκις ἦν βασιλεύς·
ἐξ ὠκεανοῦ γένος ἥρως
δεύτερος. ὃν ποτε πίν-
δου κλεενναῖς ἐν πτυχαῖς
ναῒς εὐφρανθεῖσα, πη-
νειοῦ λέχει, κρέοισ' ἔτικτεν

ἐπ. γαίας θυγάτηρ. ὁ δὲ τὰν εὐώλενον
θρέψατο παῖδα κυράναν·
ἁ μὲν, οὔθ' ἱστῶν παλιμβά-
μους ἐφίλασεν ὁδούς·
οὔτε δείπνων οἰκοριᾶν
μεθ' ἑταιρᾶν τέρψιας.
ἀλλ' ἀκόντεσσίν τε χαλκέοις
φασγάνῳ τε μαρναμένα,
κεράϊζεν ἀγρίους
θῆρας, ἦ πολλάν τε καὶ ἀσύχιον
βουσὶν εἰράναν παρέχοισα πατρῴαις.

τὸν δὲ, σύγκοιτον γλυκὺν
παῦρον ἐπὶ γλεφάροις
ὕπνον ἀναλίσκοισα ῥέποντα πρὸς ἀῶ.
στρ. β'. κίχε νιν λέοντί ποτ' εὐρυφαρέτρας
ὀβρίμῳ μούναν παλαίοισαν ἄτερ ἐγ-
χέων, ἑκάεργος ἀπόλλων.
αὐτίκα δ' ἐκ μεγάρων
χείρωνα προσήνεπε φωνᾷ.
σεμνὸν ἄντρον φιλλυρίδα
προλιπὼν, θυμὸν γυναικὸς,
καὶ μεγάλαν δύνασιν
θαύμασον, οἷον ἀταρβεῖ
νεῖκος ἄγει κεφαλᾷ,
μόχθου καθύπερθε νεᾶνις
ἦτορ ἔχοισα· φόβῳ
δ' οὐ κεχείμανται φρένες.
τίς νιν ἀνθρώπων τέκεν.
ποίας δ' ἀποσπασθεῖσα φύτλας.
ἀντ. ὀρέων κευθμῶνας ἔχει σκιοέντων.
γεύεται δ' ἀλκᾶς ἀπειράντου. ὁσία
κλυτὰν χεῖρα οἱ προσενεγκεῖν.
ἦρα. καὶ ἐκ λεχέων
κεῖραι μελιηδέα ποίαν.
τὸν δὲ κένταυρος ζαμενὴς
ἀγανᾷ χλαρὸν γελάσας ὀ-
φρύϊ, μῆτιν ἑὰν

εὐθὺς ἀμείβετο. κρυπταὶ
κλαΐδες ἐντὶ σοφᾶς
πειθοῦς ἱερᾶν φιλοτάτων
Φοῖβε. καὶ ἔν τε θεοῖς
τοῦτο κἀνθρώποισ᾽ ὁμῶς
αἰδέοντ᾽ ἀμφαδὸν ἁ-
δείας τυχεῖν τὸ πρῶτον εὐνᾶς.
ἐπ. καὶ γάρ σε, τὸν, οὐ θεμιτὸν ψεύδει θιγεῖν.
ἔτραπε μείλιχος ὀργὰ,
παρφάμεν τοῦτον λόγον. κού-
ρας δ᾽ ὁπόθεν γενεὰν
ἐξερωτᾷς ὦ ἄνα. κύρι-
ον ὃς πάντων τέλος
οἶσθα καὶ πάσας κελεύθους,
ὅσσα τε χθὼν ἠρινὰ φύλ-
λ᾽ ἀναπέμπει, χ᾽ ὡπόσαι
ἐν θαλάσσᾳ, καὶ ποταμοῖς ψάμμαθοι
κύμασι ῥιπαῖς τ᾽ ἀνέμων κλονέονται.
χ᾽ ὤτι μέλλει, χ᾽ ὤτι πόθεν
ἔσσεται, εὖ καθορᾷς.
εἰ δέ γε χρὴ καὶ πὰρ σοφὸν ἀντιφερίξαι,
ἐρέω. ταύτᾳ πόσις ἵκεο βᾶσσαν
στ. γ. τάνδε. καὶ μέλλεις ὑπὲρ πόντου Διὸς ἔξ-
οχον ποτὶ κᾶπον ἐνεῖκαι.
ἔνθα νιν ἀρχέπολιν
θήσεις ἐπὶ λαὸν ἀγείρας

νασιῶταν, ὄχθον ἐς ἀμ-
φίπεδον. νῦν δ' εὐρυλείμων
πότνιά σοι λιβύα
δέξεται εὐκλέα νύμφαν
δώμασιν ἐν χρυσέοις
πρόφρων· ἵνα οἱ χθονὸς αἶσαν
αὐτίκα συντελέθειν
ἔννομον δωρήσεται.
οὔτε παγκάρπων φυτῶν
νήποινον. οὔτ' ἀγνῶτα θηρῶν
ἀντ. τόθι παῖδα τέξεται. ὃν κλυτὸς ἑρμᾶς
εὐθρόνοις ὥραισι καὶ γαίᾳ ἀνελὼν
φίλας ἀπὸ ματρὸς οἴσει.
ταὶ δ' ἐπιγουνίδιον
θηκάμεναι βρέφος αὐταῖς,
νέκταρ ἐν χείλεσι, καὶ ἀμ-
βροσίαν στάξοισι. θήσον-
ται τέ νιν ἀθάνατον
ζῆνα. καὶ ἁγνὸν ἀπόλλω-
ν' ἀνδράσι χάρμα φίλοις.
ἄγχιστον ὀπάονα μήλων
ἀγρέα καὶ νόμιον
τοῖς δ' ἀρισταῖον καλεῖν.
ὣς ἄρ' εἰπὼν, ἔντυεν
τερπνὰν γάμου κραίνειν τελευτὰν
ἐπ. „ ὠκεῖα δ' ἐπειγομένων ἤδη θεῶν
πρᾶξις.

πρᾶξις ὁδοί τε βραχεῖαι
κεῖνο κεῖν' ἆμαρ διαίτα-
σεν. θαλάμῳ δὲ μίγεν
ἐν πολυχρύσῳ λιβύας
ἵνα καλλίσαν πόλιν
ἀμφέπει. κλεινάν τ' ἀέθλοις.
καὶ νῦν ἐν πυθῶνί νιν ἀ-
γαθέα, καρνειάδα
υἱὸς εὐθαλεῖ συνέμιξε τύχα
ἔνθα νικάσαις ἀνέφανε κυράναν.
ἅ νιν εὔφρων δέξεται.
καλλιγύναικι πάτρα
δόξαν ἱμερτὰν ἀγαγόντ' ἀπὸ δελφῶν.
„ στ. δ. ἀρεταὶ δ' αἰεὶ μεγάλαι πολύμυθοι.
„ βαιὰ δ' ἐν μακροῖσι ποικίλλειν ἀκοὰ
„ σοφοῖς. ὁ δὲ καιρὸς ὁμοίως
„ παντὸς ἔχει κορυφάν.
ἔγνων ποτὲ καὶ ἰόλαον
οὐκ ἀτιμάσαντά νιν. ἑ-
πτάπυλοι θῆβαι τὸν, εὐρυ-
σθῆος ἐπεὶ κεφαλὰν
ἔπραθεν ἐν φασγάνου ἀκμᾶ
κρύψαν ἔνερθ' ὑπὸ γᾶν,
διφρηλάτα ἀμφιτρύωνος
σάματι. πατροπάτωρ
ἔνθα οἱ σπαρτῶν ξένος

κεῖτο λευκίπποισι κα-
δμείων μετοικήσαις ἀγυιαῖς

ἀντ. τέκε οἱ καὶ ζηνὶ μιγεῖσα δαΐφρων
ἐν μόναις ὠδῖσιν ἀλκμήνα, διδύμων
κρατησίμαχον σθένος υἱῶν.
κωφὸς ἀνήρ τις, ὃς ἡ-
ρακλεῖ στόμα μὴ παραβάλλει.
μὴ δὲ διρκαίων ὑδάτων
ἀεὶ μέμναται. τά νιν θρέ-
ψαντο καὶ ἰφικλέα.
τοῖσι τέλειον ἐπευχᾷ
κωμάσομαί τι παθὼν
ἐσλόν. χαρίτων κελαδεννᾶν
μή με λίποι καθαρὸν
φέγγος, αἰγίνα τε γὰρ
φαμὶ. νίσου τ' ἐν λόφῳ,
τρὶς δὴ πόλιν τάνδ' εὐκλεΐξαι.

ἐπ. σιγαλὸν ἀμαχανίαν ἔργῳ φυγών,
οὕνεκεν εἰ φίλος ἀστῶν,
εἴ τις ἀντάεις, τό γ' ἐν ξυ-
νῷ πεπονημένον εὖ,
μὴ λόγον βλάπτων ἁλίοι-
ο γέροντος κρυπτέτω.
κεῖνος αἰνεῖν καὶ τὸν ἐχθρὸν
παντὶ θυμῷ σύν τε δίκα
καλὰ ῥέζοντ' ἔννεπεν.

πλεῖστα νικάσαντά σε καὶ τελεταῖς
ὡρίαις ἐν Παλλάδος εἶδον. ἄφωνοί
θ' ὡς ἑκάστα φίλτατον
παρθενικαὶ πόσιν, ἢ
υἱὸν εὔχοντ' ὦ Τελεσίκρατες ἔμμεν,
στ. έ. ἐν ὀλυμπίοισί τε καὶ βαθυκόλπου
γᾶς ἀέθλοις, ἔν τε καὶ πᾶσιν ἐπιχω-
ρίοις. ἐμὲ δ' ὤν τις ἀοιδᾶν
δίψαν ἀκειόμενον
πράσσει. χρέος αὖθις ἐγεῖραι,
καὶ παλαιὰν δόξαν τεῶν
προγόνων. οἷοι λιβύσσας ἀμ-
φὶ γυναικὸς ἔβαν,
ἴρασαν πρὸς πόλιν, ἀνταί-
ου, μετὰ καλλίκομον
μναστῆρες ἀγακλέα κούραν.
τὰν, μάλα πολλοὶ ἀρι-
στῆες ἀνδρῶν αἴτεον
σύγγονοι. πολλοὶ δὲ καὶ
ξείνων. ἐπεὶ θαητὸν εἶδος
ἀντ. ἔπλετο. χρυσοστεφάνου δὲ ἥβας
καρπὸν ἀνθήσαντ' ἀποδρέψαι ἔθελον.
πατὴρ δὲ θυγατρὶ φυτεύων
κλεινότερον γάμον, ἄ-
κουσεν δαναόν ποτ' ἐν ἄργει
οἷον εὗρεν τεσσαράκον-

τα καὶ ὀκτὼ παρθένοισιν,
πρὶν μέσον ἆμαρ ἑλεῖν
ὠκύτατον γάμον. ἔστα-
σεν γὰρ ἅπαντα χορὸν
ἐν τέρμασιν αὐτίκ᾽ ἀγῶνος
σὺν δ᾽ ἀέθλοις ἐκέλευ-
σεν διακρῖναι ποδῶν,
ἅντινα σχήσει τις ἡ-
ρώων, ὅσοι γαμβροί σφιν ἦλθον
ἐπ. οὕτω δὲ δίδου Λίβυς ἁρμόζων κόρᾳ
νυμφίον ἄνδρα. ποτὶ γραμ-
μᾷ μὲν αὐτὰν στάσε κοσ μέσ-
μησας τέλοσ. ἔμμεν ἄκρον.
εἶπε δ᾽ ἐν μέσσοις, ἀπάγε-
σθαι. ὃς ἂν πρῶτος θορὼν
ἀμφί οἱ ψαύσειε πέπλοισ
ἔνθ᾽ Ἀλεξίδαμος, ἐπεὶ
φύγε λαιψηρὸν δρόμον,
παρθένον κεδνὰν χερὶ χειρὸς ἑλὼν,
ἆγεν ἱππευτᾶν νομάδων δι᾽ ὅμιλον.
πολλὰ μὲν κεῖνοι δίκον
φύλλ᾽ ἔπι καὶ στεφάνους.
πολλὰ δὲ πρόσθεν πτερὰ δέξατο νικᾶν.

ΙΠΠΟΚΛΕΙ ΘΕΣΣΑΛΩι ΔΙΑΥΛΟΔΡΟΜΩι
ΜΕΛΟΣ Ι.

στροφή.

λβία λακεδαῖμον.
ὁ μάκαιρα θεσσαλία. πατρὸς
δ' ἀμφοτέραις ἐξ ἑνὸς
ἀριστομάχου γένος ἡρακλέος βασιλεύει.
τί κομπέω παρὰ καιρὸν
ἀλλά με πυθώτε καὶ τὸ
πελινναῖον ἀπύει
ἀλεύατε παῖδες ἱπποκλέα
θέλοντες ἀγαγεῖν ἐπικωμίαν
ἀνδρῶν κλυτὰν ὄπα

ἀντ. γεύεται γὰρ ἀέθλων
στρατῷ τ' ἀμφικτυόνων ὁ παρ-
νάσιος αὐτὸν μυχὸς
διαυλοδρομᾶν ὕπατον παίδων ἀνέειπεν
ἄπολλον. γλυκὺ δ' ἀνθρώ-
πων τέλος ἀρχά τε, δαίμο-
νος ὀρνύντος αὔξεται.
ὁ μέν που τεοῖσί τε μήδεσι τοῦ-
τ' ἔπραξε. τὸ δὲ συγγενὲς ἐμβέβα-
κεν ἴχνεσιν πατρὸς

ἐπ. ὀλυμπιονίκα

δὶς ἐν πολεμαδόκοις ἄρεος ὅπλοισ
θῆκε καὶ βαθυλείμωνα
ἀγὼν ὑπὸ κίῤῥασ
πέτραν, κρατησίποδα φρικίαν.
ἕποιτο μοῖρα καὶ ὑστέραισιν
ἐν ἁμέραις ἀγάνορα
πλοῦτον ἀνθεῖν σφίσιν
στρ. β. τῶν δ' ἐν ἑλλάδι τερπνῶν
λαχόντες οὐκ ὀλίγαν δόσιν.
μὴ φθονεραῖς ἐκ θεῶν
μετατροπίαις ἐπικύρσαιεν. θεὸς εἰ
ἀπήμων κέαρ. εὐδαί-
μων δὲ καὶ ὑμνητὸς οὗτος.
ἀνὴρ γίνεται σοφοῖς
ὃς ἂν χερσὶν ἢ ποδῶν ἀρετᾷ
κρατήσας, τὰ μέγιστ' ἀέθλων ἕλῃ
τόλμα τε καὶ σθένει.
ἀντ. καὶ ζώων ἔτι νεαρὸν
κατ' αἶσαν υἱὸν ἴδοι τυχόν-
τα στεφάνων πυθίων.
ὁ χάλκεος οὐρανὸς, οὔ ποτ' ἀμβατὸς αὐτοῖς
ὅσαις δὲ βρότεον ἔθνοσ
ἀγλαΐαις ἁπτόμεσθα,
περαίνει πρὸς ἔσχατον
πλόον. ναυσὶ δ' οὔτε πεζὸς ἰὼν
εὕροισ ἂν ἐς ὑπερβορέων ἀγῶ-,

να, θαυμαστὰν ὁδόν.
ἐπ. παρ' οἷς ποτε περσεὺς
ἐδαίσατο λαγέτας δώματ' ἐλθὼν,
κλειτὰς ὄνων ἑκατόμβας
ἐπιτόσαις θεῷ
ῥέζοντας. ὧν θαλίαις ἔμπεδον
εὐφαμίαις τε μάλιστ' ἀπόλλων
χαίρει. γελᾷ θ' ὁρῶν ὕβριν
ὀρθίαν κνωδάλων
στ. γ. μοῦσα δ' οὐκ ἀποδαμεῖ
τρόποις ἐπὶ σφετέροισι. παντᾷ
δὲ χοροὶ παρθένων,
λυρᾶν τε βοαί. καναχαί τ' αὐλῶν δονέον-
δάφνᾳ τε χρυσέᾳ κό- (ται.
μας ἀναδήσαντες, εἰλα-
πινάζουσιν εὐφρόνως
νοῦσοι δ' οὔτε γῆρας οὐλόμενον
κέκραται ἱερᾷ γενεᾷ. πόνων
δὲ καὶ μαχᾶν ἄτερ
ἀντ. οἰκέοισι, φυγόντες
ὑπέρδικον νέμεσιν. θρασεί-
ᾳ δὲ πνέων καρδίᾳ
μόλεν δανάας ποτὲ παῖς, ἁγεῖτο δ' ἀθάνα.
ἐς ἀνδρῶν μακάρων ὄ-
μιλον. ἔπεφνέ τε γοργό-
να. καὶ ποικίλον κάρα

δρακόντων φόβαισιν ἤλυθε, να-
σιώταις λίθινον θάνατον φέρων
ἐμοὶ δὲ θαυμάσαι·
ἐπ. θεῶν τελεσάντων,
οὐδέν ποτε φαίνεται ἔμμεν ἄπιστον.
κώπαν σχάσον. ταχὺ δ᾽ ἄγκυραν
ἔρεισον χθονὶ
πρῴραθε, χοιράδος ἄλκαρ πέτρας.
ἐγκωμίων γὰρ ἄωτος ὕμνων
ἐπ᾽ ἄλλοτ᾽ ἄλλον, ὥστε
μέλισσα θαύει λόγον·
στρ. δ. ἔλπομαι δ᾽ Ἐφυραίων
ὄπ᾽ ἀμφὶ Πηνειὸν γλυκεῖαν
προχεόντων ἐμὰν,
τὸν Ἱπποκλέα ἔτι καὶ μᾶλλον σὺν ἀοιδαῖς
ἕκατι στεφάνων, θα-
ητὸν ἐν ἄλιξιν θησέ-
μεν, ἔν τε παλαιτέροις,
νέαισίν τε παρθένοις μέλημα·
καὶ γὰρ ἑτέροισιν ἑτέρων ἔρως
ἔκνιξέ γε φρένας,
ἀντ. τῶν δ᾽ ἕκαστος ὀρούει
τυχών κεν, ἁρπαλέαν σχέθοι
φροντίδα τὰν πὰρ ποδὸς,
τὰ δ᾽ εἰς ἐνιαυτὸν ἀτέκμαρτον προνοῆσαι
πέποιθα ξενία προ-

ξεινεῖ θώρακος. ὅσπερ
ἐμὰν ποιπνύων χάριν,
τό δ᾽ ἔζευξεν ἅρμα πιερίδων
τετράορον, φιλέων φιλέοντ᾽ ἄγων
ἄγοντα προφρόνως.
ἐπ. πειρῶντι δὲ καὶ χρυ-
σὸς ἐν βασάνῳ πρέπει καὶ νόος ὀρθός
ἀδελφεούς τε ἐπαινήσο-
μεν ἐσλούς. ὅτι
ὑψοῦ φέροντι νόμον θεσσαλῶν
αὔξοντες. ἐν δ᾽ ἀγαθοῖσι κεῖνται
πατρῷαι κεδναὶ πολί-
ων κυβερνάσιες.

ΘΡΑΣΥΔΑΙΩι ΘΗΒΑΙΩι
ΠΑΙΔΙ ΣΤΑΔΙΕΙ.
ΜΕΛΟΣ ιά.

Στροφή.
κάδμου κόραι, σεμέλα
κ μὲν ὀλυμπιάδων ἀγυιάτις, ἰ-
νὼ δὲ λευκοθέα ποντιᾶν
ὁμοθάλαμε νηρηΐδων,
ἴτε σὺν ἡρακλέος ἀριστογόνῳ
ματρὶ, πὰρ μελίαν χρυσέων
ἐς ἄδυτον τριπόδων

θησαυρὸν, ὃν περίαλλ' ἐτί-
μασε λοξίας,
ἀντ. ἰσμήνιον δ' ὀνύμα-
ξεν ἀλαθέα μαντεῖον θῶκον. ὦ
παῖδες ἁρμονίας, ἔνθα καὶ
ναῷ ἐπίνομον ἡρωΐδων
στρατὸν ὁμηγυρέα καλεῖ συνίμεν
ὄφρα θέμιν ἱερὰν πυθῶ-
νά τε, καὶ ὀρθοδίκαν
γᾶς ὀμφαλὸν κελαδῆτε,
ἄκρᾳ σὺν ἑσπέρᾳ,
ἐπ. ἑπταπύλοισι θήβαις
χάριν ἀγῶνί τε κίῤῥας.
ἐν τῷ, θρασυδαῖος ἔμνασεν ἑστίαν
τρίτον ἐπὶ στέφανον πατρῷαν βαλὼν,
ἐν ἀφνεαῖς ἀρούραισι πυλάδα νικῶν
ξένου λάκωνος ὀρέστα.
στρ. β. τὸν δὴ, φονευομένου
πατρὸς, ἀρσινόα κλυταιμνήστρας χε-
ρῶν ὑπὸ κρατερᾶν, ἐκ δόλου
τροφὸς ἄνελε δυσπενθέος.
ὁπότε δαρδανίδα κόραν πριάμου
κασάνδραν πολιῷ χαλκῷ,
σὺν ἀγαμεμνονίᾳ
ψυχᾷ, πόρευ' ἀχέροντος
ἀκτὰν παρ' εὔσκιον

γ. νηλὴς γυνά. πότερόν
νιν ἄρ' ἰφιγένει' ἐπ' εὐρίπῳ σφα-
χθεῖσα τῆλε πάτρας, ἔκνισεν
βαρυπάλαμον ὄρσαι χόλον
ἢ ἑτέρῳ λέχει δαμαλιζομέναν
ἔννυχοι παράγον κοῖται.
τὸ, δὴ νέαις ἀλόχοις
ἔχθιστον ἀμπλάκιον. κα-
λύψαι τ' ἀμήχανον
ἐπ. ἀλλοτρίαισι γλώσσαις
κακολόγοι δὲ πολῖται.
ἴσχει τε γὰρ ὄλβος οὐ μείονα φθόνον.
ὁ δὲ χαμηλὰ πνέων ἄφαντον βρέμει
θανὲ μὲν αὐτὸς ἥρως ἀτρείδας ἵκων
χρόνῳ κλυταῖς ἐν ἀμύκλαις
στρ. δ. μάντιν τ' ὄλεσσε κόραν,
ἐπεὶ ἀμφ' ἑλένᾳ πυρωθέντων τρώ-
ων ἔλυσε δόμους ἁβρότα-
τος ὁ δ' ἄρα γέροντα ξένον
στρόφιον ἵξικετο νέα κεφαλᾶ
παρνασοῦ πόδα ναίοντ'. ἀλ-
λά γε χρόνῳ σὺν ἄρει
πέφνεν τε ματέρα. θῆκέ τ'
αἴγισθον ἐν φοναῖς.
ἀντ. ἦρ' ὦ φίλοι κατ' ἀμευ-
σίπορον τρίοδον ἐδινάθην ὀρ-

θὰν κέλευθον ἰὼν τὸ πρίν· ἢ
μέ τις ἄνεμος ἔξω πλόου
ἔβαλεν· ὡς ὅτ' ἄκατον ἐναλίαν
μοῖσα· τὸ δὲ τεόν, εἰ μισθῷ
συνέθευ παρέχειν
φωνὰν ὑπ' ἄργυρον. ἄλλο τἄλ-
λα χρὴ ταρασσέμεν.
ἐπ. ἢ πατρὶ πυθιονίκῳ
τό γε νῦν, ἢ θρασυδαίῳ·
τῶν, εὐφροσύνα τε καὶ δόξ' ἐπιφλέγει.
τὰ μὲν, ἅρμασι καλλίνικοι πάλαι,
ὀλυμπίᾳ τ' ἀγώνων πολυφάτων ἔσχον
θοὰν ἀκτῖνα σὺν ἵπποις
στρ. δ. πυθοῖ τε, γυμνὸν ἐπι-
στάδιον καταβάντες, ἤλεγξαν ἑλ-
λανίδα στρατιὰν ὠκύτα-
τι. θεόθεν ἐραίμαν καλῶν
δυνατὰ μαιόμενος ἐν ἁλικίᾳ·
τῶν γὰρ ἀνὰ πόλιν εὑρίσκων·
τὰ μέσα μακροτέρῳ σὺν
ὄλβῳ τεθαλότα, μέμφο-
μ' αἶσαν τυραννίδων
ἀντ. ξυναῖσιν ἀμφ' ἀρεταῖσ
τέταμαι. φθονεροὶ δ' ἀμύνοντ' ἄτα,
εἴ τις ἄκρον ἑλὼν, ἡσυχία τε
νεμόμενος, αἰνὰν ὕβριν

ἀπέφυγεν. μέλανος δ' ἂν ἐσχατιὰν
καλλίονα θανάτου, ἐν
γλυκυτάτᾳ γενεᾷ
εὐώνυμον κτεάνων κρατί-
σταν χάριν πορών.
ἐπ. ἅ τε τὸν ἰφικλείδαν
διαφέρει ἰόλαον
ὑμνητὸν ἐόντα. καὶ κάστορος βίαν.
σέ τ' ἄναξ πολύδευκες. υἱοὶ θεῶν
τὸ μὲν παρ' ἆμαρ ἕδραισι θεράπνας, τὸ δ' οἰ
κέοντας ἔνδον ὀλύμπου.

ΜΙΔΑι ΑΥΛΗΤΗι, ΑΚΡΑ-
ΓΑΝΤΙΝΩι.
ΜΕΛΟΣ ιβ.

Στροφή.

α ἰτέω σε φιλάγλαε καλ-
λίστα βροτεᾶν πολίων φερσεφόνας
ἅ τ' ὄχθαις ἔπι μηλοβότου (ἕδος
ναίεις ἀκράγαντος εὐ-
δματον κολώναν. ὦ ἄνα
ἵλαος ἀθανάτων
ἀνδρῶν τε, σὺν εὐμενίᾳ
δέξαι στεφάνωμα τόδ' ἐκ
πυθῶνος εὐδόξῳ μίδᾳ,

αὐτόν τέ νιν ἑλλάδα νική-
σαντα τέχνα· τάν ποτε
παλλὰς ἐφεῦρε θρασειᾶν γοργόνων
οὔλιον θρῆνον διαπλέξασ' ἀθάνα,
ἀντ. τὸν παρθενίοις ὑπό τ' ἀ-
πλάτοις ὀφίων κεφαλαῖς ἄϊε λειβόμε-
νον δυσπενθεῖ σὺν καμάτῳ
περσεὺς, ὁπότε τρίτον ἄυ-
σεν κασιγνητᾶν μέρος,
εἰναλίᾳ σερίφῳ
λαοῖσι τε μοῖραν ἄγων.
ἤτοι τό τε θεσπέσιον
φόρκοι' ἀμαύρωσεν γένος.
λυγρόν τ' ἔρανον πολυδέκτα
θῆκε, ματρός τ' ἔμπεδον
δουλοσύναν, τό τ' ἀναγκαῖον λέχος·
εὐπαράου κρᾶτα συλήσας μεδοίσας
στρ. β. υἱὸς δανάας. τὸν ἀπὸ
χρυσοῦ φαμὲν αὐτορύτου
ἔμμεναι. ἀλλ' ἐπεὶ ἐκ τούτων
φίλον ἄνδρα πόνων
ἐρρύσατο παρθένος, αὐ-
λῶν τεῦχε πάμφωνον μέλος·
ὄφρα τὸν εὐρυάλας
ἐκ καρπαλιμᾶν γενύων
χριμφθέντα σὺν ἔντεσι μι-

μήσατ' ἐρικλάκταν γόον
εὗρεν θεός. ἀλλά νιν εὑροῖ-
σ' ἀνδράσι θνατοῖς ἔχειν
ὠνόμασεν κεφαλᾶν πολλᾶν νόμον.
εὐκλέα λαοσσόον μναστῆρ' ἀγώνων,
ἀντ. λεπτοῦ διανισσόμενον.
χαλκοῦ θ' ἅμα καὶ δονάκων
τοὶ παρὰ καλλιχόρῳ
ναίοισι πόλει χαρίτων,
καφισίδος ἐν τεμένει,
πιστοὶ χορευτᾶν μάρτυρες.
εἰ δέ τις ὄλβος ἐν ἀν-
θρώποισιν, ἄνευ καμάτου
οὐ φαίνεται. ἐκ δὲ τελευ-
τάσει νιν, ἤ τοι σάμερον
δαίμων. τὸ γε μόρσιμον οὐ παρ
φυκτὸν ἀλλ' ἔσται χρόνος
οὗτος, ὃ καί τιν' ἀελπτίᾳ βαλὼν
ἔμπαλιν γνώμας, τὸ μὲν δώσει. τὸ δ' οὔπω.

ΠΙΝΔΑΡΟΥ ΝΕΜΕΟΝΙΚΑΙ·

ΧΡΟΜΙΩ, ΑΙΤΝΑΙΩ, ΙΠΠΟΙΣ·
ΜΕΛΟΣ α'·

[illegible]'.

μπνευμα σεμνὸν ἀλφεοῦ,
α'   κλειναῖν συρακοσσᾶν θάλος ὀρ
τύγια,
δέμνιον ἀρτέμιδος
δάλου κασιγνήτα,
σέθεν ἁδυεπὴς
ὕμνος ὁρμᾶται θέμεν
αἶνον ἀελλοπόδων μέγαν ἵππων,
ζηνὸς αἰτναίου χάριν
ἅρμα δ' ὀτρύνει χρομίου. νεμέα
θ' ἔργμασι νικαφόροις
ἐγκώμιον ζεῦξαι μέλος.
ἀντ. ἀρχαὶ δὲ βέβληνται θεῶν
κείνου σὺν ἀνδρὸς δαιμονίαις ἀρεταῖς.
ἔστι δ' ἐν εὐτυχίᾳ
πανδοξίας ἄκρον
μεγάλων δ' ἀέθλων
μοῖσα μεμνᾶσθαι φιλεῖ.
νῦν ἔγειρ' ἀγλαΐαν τινὰ νάσῳ
τὰν, ὀλύμπου δεσπότας
ζεὺς ἔδωκεν φερσεφόνᾳ· κατένευ-

σεν τέ

σεν τέ οἱ χαίταις, ἀρι-
στεύοισαν εὐκάρπου χθονὸς,
ἐπ· σικελίαν πίειραν ὀρθώ-
σειν, κορυφαῖς πολίων ἀφνεαῖς
ὤπασε δὲ κρονίων
πολέμου μναστῆρά οἱ χαλκεντέος
λαὸν ἵππαιχμον θαμὰ δὴ καὶ ὀλυμ-
πιάδων φύλλοις ἐλαιᾶν
χρυσέοισι μιχθέντα· πολλῶν ἐπέβαν,
καιρὸν οὐ ψεύδει λαβὼν
στρ· β· ἔσταν δ᾽ ἐπαυλείαις θύραις
ἀνδρὸς φιλοξείνου, καλὰ μελπόμενος·
ἔνθα μοι ἁρμόδιον
δεῖπνον κεκόσμηται· θαμὰ δ᾽ ἀλλοδαπῶν
οὐκ ἀπείρατοι δόμοι
ἐντί· λέλογχε δὲ μεμφομένοις ἐσ-
λοὺς ὕδωρ καπνῷ φέρειν
ἀντίον· τέχναι δ᾽ ἑτέρων ἕτεραι.
χρὴ δ᾽ ἐν εὐθείαις ὁδοῖς
στείχοντα μάρνασθαι φυᾷ.
ἀντ· πράσσει γὰρ ἔργῳ μὲν σθένος·
βουλαῖσι δὲ φρὴν ἐσσόμενον προϊδεῖν
συγγενὲς, οἷς ἕπεται.
ἁγησιδάμου παῖ, σέο δ᾽ ἀμφὶ τρόπῳ
τῶν τε καὶ τῶν, χρήσιες·
οὐκ ἔραμαι πολὺν ἐν μεγάρῳ πλοῦ-

τον κατακρύψαι ἔχειν·
ἀλλ' ἐόντων εὖ τε παθεῖν, καὶ ἀκοῦ-
σαι φίλοις ἐξαρκέων·
κοιναὶ γὰρ ἔρχοντ' ἐλπίδες
ἐπ. πολυπόνων ἀνδρῶν. ἐγὼ δ' ἡ-
ρακλέος ἀντέχομαι προφρόνως
ἐν κορυφαῖς ἀρετᾶν
μεγάλαις. ἀρχαῖον ὀτρύνων λόγον·
ὡς ἐπεὶ σπλάγχνων ὕπο ματέρος αὐ-
τίκα θαητὰν ἐς αἴγλαν
παῖς διὸς ὠδῖνα φεύγων, διδύμῳ,
σὺν κασιγνήτῳ μόλεν·
στρ. γ. ὥστ' οὐ λαθὼν χρυσόθρονον
ἥραν, κροκωτὸν σπάργανον ἐγκατέβαν,
ἀλλὰ θεῶν βασίλεια
σπερχθεῖσα θύμῳ πέμ-
πε δράκοντας ἄφαρ
τοὶ μὲν, οἰχθεῖσαν πυλᾶν
ἐς θαλάμου μυχὸν εὐρὺν ἔβαν, τέ-
κνοισιν ὠκείας γνάθους
ἀμφελίξασθαι μεμαῶτες. ὁ δ' ὀρ-
θὸν μὲν ἄντεινεν κάρα.
πειρᾶτο δὲ πρῶτον μάχας.
ἀντ. δισσαῖσι δοιοὺς αὐχένων
μάρψας ἀφύκτοις χερσὶν ἑαῖς ὄφιας.
ἀγχομένοις δὲ, χρόνος
ψυχὰς ἀπέπνευσεν μελέων ἀφάτων

ἐκ δ᾽ ἄρ᾽ ἄτλατον δέος.
πλᾶξε γυναῖκας, ὅσαι τύχον ἀλκμή-
νας ἀρήγοισαι λέχει·
καὶ γὰρ αὐτὰ ποσσὶν ἄπεπλος ὀρού-
σαισ᾽ ἀπὸ στρωμνᾶς ὅμως,
ἄμυνεν ὕβριν κνωδάλων
ἐπ. ταχὺ δὲ καδμείων ἀγοὶ χαλ-
κέοις σὺν ὅπλοις ἀθρόοι ἔδραμον
ἐν χειρὶ δ᾽ ἀμφιτρύων
κολεοῦ γυμνὸν ξίφος ἐκτινάσσων
ἵκετ᾽ ὀξείαις ἀνίαισι τυπείς.
τὸ γὰρ οἰκεῖον πιέζει
πάνθ᾽ ὁμῶς. εὐθὺς δ᾽ ἀπήμων καρδία
κᾶδος ἀμφαλλότριον
στ. δ. ἔστα δὲ θάμβει δυσφόρῳ
τερπνῷ τε μιχθείς. εἶδε γὰρ ἐκνόμιον
λῆμά τε καὶ δύναμιν
υἱοῦ. παλίγγλωσσον δέ οἱ ἀθάνατοι
ἀγγέλων ῥῆσιν θέσαν.
γείτονα δ᾽ ἐκκάλεσεν διὸς ὑψί-
στου προφάταν ἔξοχον.
ὀρθόμαντιν τειρεσίαν· ὁ δέ οἱ
φράζε, καὶ παντὶ στρατῷ,
ποίαις ὁμιλήσει τύχαις
ἀντ. ὅσσους μὲν ἐν χέρσῳ κτανὼν,
ὅσσους δ᾽ ἐν πόντῳ θῆρας ἀϊδροδίκας.

καί τινα σὺν πλαγίῳ
ἀνδρῶν κόρῳ στείχον-
τα τὸν ἐχθρότατον
φᾶσί νιν δώσειν μόρον
καὶ γὰρ ὅταν θεοὶ ἐν πεδίῳ φλέ-
γρας γιγάντεσσιν μάχαν
ἀντιάζωσιν, βελέων ὑπὸ ῥι-
παῖσι κείνου φαίδιμαν
γαίᾳ πεφύρσεσθαι κόμαν.
ἐπ. ἔνεπεν αὐτὸν μαὰν ἐν εἰρή-
να τὸν ἅπαντα χρόνον σχερῶ
ἡσυχίαν καμάτων
μεγάλων ποινὰν λαχόντ' ἐξαίρετον
ὀλβίοις ἐν δώμασι δε-
ξάμενον θαλερὰν ἥβαν ἄκοιτιν·
καὶ γάμον δαίσαντα πὰρ διῒ κρονίδα
σεμνὸν αἰνήσειν δόμον.

ΤΙΜΟΔΗΜῼ ἀθηναίῳ παγκρατιαστῇ.
μονόστροφος ἡ ᾠδὴ κατὰ ὀγδο-
άδα διῃρημένη.
ΜΕΛΟΣ β'.
ογδοάς. α.
ὅ θεν περ καὶ ὁμηρίδαι
ῥαπτῶν ἐπέων τὰ πόλλ' ἀοιδοὶ
ἄρχονται διὸς ἐκ προοιμί-

οὗ καὶ ὅδ᾽ ἀνὴρ
καταβολὰν ἱερῶν ἀγώνων
νικαφορίας δέδεκται
πρῶτα, νεμαίου
ἐν πολυϋμνήτῳ διὸς ἄλσει.
ὀφείλει δέ τι παξίαν
στρ. β. εἴπερ καθ᾽ ὁδόν νιν εὐθυπομπὸς
αἰὼν ταῖς μεγάλαις δέδωκεν
κόσμον ἀθάναις.
θαμὰ μὲν ἰσθμιάδων δρέπεσθαι
κάλλιστον ἄωτον ἐν πυ-
θίοισί τε νικᾶν.
τιμονόου παῖδ᾽. ἔστι δ᾽ ἐοικὸς
ὀρειᾶν γε πελειάδων
στρ. γ. μὴ τηλόθεν ὠρίωνα νεῖσθαι.
καὶ μὰν ἁ σαλαμίς γε θρέψαι
φῶτα μαχατάν.
δυνατός. ἐν τροίᾳ μὲν ἕκτωρ
αἴαντος ἄκουσεν. ὦ τιμό-
δημε. σὲ δ᾽ ἀλκὰ
παγκρατίου τλάθυμος ἀέξει.
ἀχάρναι δὲ παλαίφατον
στρ. δ. εὐάνορες. ὅσσα δ᾽ ἀμφ᾽ ἀέθλοις
τιμοδημίδαι ἐξοχώτα-
τοι προλέγονται.
τὰ μὲν, ὑψιμέδοντι παρνα-

σῷ πίσαρας ἐξ ἀέθλων
νίκας ἐκόμιξαν
ἀλλὰ κορινθίων ὑπὸ φωτῶν
ἐν δ᾽ ἐσλοῦ πέλοπος πτυχαῖς,
ὀκτὼ στεφάνοις ἔμιχθεν ἤδη
ἑπτὰ δ᾽ ἐν νεμέᾳ. τὰ δ᾽ οἴκοι,
μάσσον ἀριθμῷ,
διὸς ἀγῶνι, τὸν, ὦ πολῖται
κωμάξατε τιμοδήμῳ
σὺν εὐκλεῖ νόστῳ.
ἁδυμελεῖ δ᾽ ἐξάρχετε φωνᾷ.

ΑΡΙΣΤΟΚΛΕΙΔῌ. ΑἸΓΙΝΗΤῌ. ΠΑΓΚΡΑΤΙΑΣΤῌ.

ΜΕΛΟΣ γ᾽. ΣΤΡΟΦΗ.

πότνια μοῖσα μᾶτερ
α ἀμετέρα, λίσσομαι.
τὰν πολυξένῳ ἐν
ἱερομηνίᾳ νεμεάδι
ἵκεο δωρίδα νᾶσον αἴγι-
ναν. ὕδατι γὰρ μένοντ᾽ ἐπ᾽ ἀσωπίῳ
μελιγαρύων τέκτονες
κώμων νεανίαι σέ-
θεν, ὄπα μαιόμενοι.
διψῇ δὲ πρᾶγος ἄλλο μὲν ἄλλου.
ἀεθλονικίας δὲ μάλιστ᾽ ἀοιδὰν
φιλεῖ στεφάνων ἀρετᾶν τε
δεξιωτάταν ὀπαδόν.

ἀντ. τᾶς, ἀφθονίαν ὄπαζε
μήτιος ἀμᾶς ἄπο.
ἄρχε δ' οὐρανῶ, πο-
λυνεφέλα κρέοντι θύγατερ,
δόκιμον ὕμνον. ἐγὼ δ' ἐκείνων
τέ μιν ὀάροις λύρᾳ τε κοινώσομαι
χαρίεντα δ' ἕξει πόνον
χώρας ἄγαλμα μυρμι-
δόνες, ἵνα πρότεροι
ὤκησαν. ὧν παλαίφατον ἀγορὰν
οὐκ ἐλεγχέεσσιν ἀριστοκλείδας
τὰν ἐμίανε, κατ' αἶσαν
ἐν περισθενεῖ μαλαχθεὶς
ἐπ. παγκρατίου στόλῳ.
ματοδέων δὲ πλαγᾶν
ἄκος ὑγιηρὸν ἐν
βαθυπεδίῳ νεμέᾳ
τὸ καλλίνικον φέρει.
εἰ δὲ ὢν καλός.
ἔρδων τ' ἐοικότα μορφᾷ,
ἀνορέαις ὑπερτάταις ἐπέβα
παῖς ἀριστοφάνευς, οὐκέτι πρόσω
ἀβάταν ἅλα κιόνων
ὑπὲρ ἡρακλέος περᾶν εὐμαρές.
στρ. β. ἥρως θεὸς ἃς ἔθηκεν
ναυτιλίας ἐσχάτας

μάρτυρας κλυτάς· δά-
μασε δὲ θῆρας ἐν πελάγει
ὑπερόχους· ἰδίᾳ τ' ἐρεύνα-
σε τεναγέων ῥοάς, ὅπα πόμπιμον
κατέβαινε νόστου τέλος,
καὶ γᾶν φράδασε. θυμὲ
τίνα πρὸς ἀλλοδαπὰν
ἄκραν ἐμὸν πλόον παραμείβῃ·
αἰακῷ σε φαμὶ γένει τε μοῖσαν
φέρειν· ἕπεται δὲ λόγῳ δί-
κας ἄωτος ἐσλὸς αἰνεῖν.
ἀντ. οὐδ' ἀλλοτρίων ἔρωτες
ἀνδρὶ φέρειν κρέσσονες
οἴκοθεν μάτευε·
ποτίφορον δὲ κόσμον ἔλαβες
γλυκύ τι γαρυέμεν. παλαιαῖ-
σι δ' ἐν ἀρεταῖς γέγαθε πηλεὺς ἄναξ,
ὑπέραλλον αἰχμὰν ταμὼν
ὃς καὶ ἰωλκὸν εἷλε
μόνος ἄνευ στρατιᾶς
καὶ ποντίαν θέτιν κατέμαρψεν
ἐγκονητί. λαομέδοντα δ' εὐρυ-
σθενὴς τελαμὼν ἰόλᾳ πα-
ραστάτας ἐὼν ἔπερσεν
ἐπ. καί ποτε χαλκότοξον
ἀμαζόνων μετ' ἀλκὰν

ἔπετό οἱ. οὐδέ μιν·
ποτὲ φόβος ἀνδροδάμας
ἔπαυσεν ἀλκὰν φρενῶν·
συγγενεῖ δέ τις
εὐδοξίᾳ μέγα βρίθει·
ὃς δὲ διδάκτ' ἔχει, ψεφηνὸς ἀνήρ,
ἄλλοτ' ἄλλα πνέων. οὔ ποτ' ἀτρεκεῖ
κατέβα ποδί· μυρίαν
δ' ἀρετᾶν ἀτελεῖ νόῳ γεύεται.
στρ. γ. ξανθὸς δ' Ἀχιλλεύς. τὰ μὲν μέ-
νων φιλύρας ἐν δόμοις,
παῖς ἐὼν ἄθυρεν
μεγάλα ἔργα· χερσὶ θαμινὰ
βραχυσίδαρον ἄκοντα πάλλων
ἶσον τ' ἀνέμοις μάχᾳ λεόντεσσιν ἀ-
γροτέροις ἔπρασσεν φόνον·
κάπρους τ' ἔναιρεν σώμα-
τα δὲ παρὰ κρονίδαν
κένταυρον ἀσθμαίνοντα κόμιζεν
ἑξέτης τὸ πρῶτον· ὅλον δ' ἔπειτ' ἂν
χρόνον τὸν, ἐθάμβεον ἄρτε-
μίς τε, καὶ θρασεῖ' ἀθάνα.
ἀντ. κτείνοντ' ἐλάφους ἄνευ κυ-
νῶν δολίων θ' ἑρκέων·
ποσσὶ γὰρ κράτεσκεν
λεγόμενον δὲ τοῦτο προτέρων

ἔπος ἔχω· βαθυμῆτα χείρων
τράφεν λιθίνῳ τ' ἰάσον' ἔνδον τέγει,
καὶ ἔπειτ' ἐν ἀσκληπιόν·
τὸν φαρμάκων δίδαξεν
μαλακόχειρα νόμον·
νύμφευσε δ' αὖθις ἀγλαόκαρπον
νηρέος θύγατρα· γόνον τέ οἱ φέρ-
τατον ἀτίταλλεν, ἀρμέ-
νοισι πάντα θυμὸν αὔξων·
ἐπ. ὄφρα θαλασσίαις ἀ-
νέμων ῥιπαῖσι πεμφθεὶς
ὑπὸ τροΐαν, δορί-
κτυπον ἀλαλὰν λυκίων
τε προσμένοι, καὶ φρυγῶν
δαρδάνων τε· καὶ
ἐγχεσφόροις ἐπιμίξαις
αἰθιόπεσι, χεῖρας ἐν φρασὶ πά-
ξαιθ'. ὅπως σφίσι κοίρανος ὀπίσω
πάλιν οἴκαδ' ἀνεψιὸς
ζαμενὴς ἑλένοιο μέμνων μόλοι.
στρ. δ. τηλαυγὲς ἄραρε φέγγος
αἰακιδᾶν αὐτόθεν·
ζεῦ, τεὸν γὰρ αἷμα,
σέο δ' ἀγών· τὸν, ὕμνος ἔβαλεν
ὀπὶ νέων, ἐπιχώριον χάρ-
μα κελαδέων· βοὰ δὲ νικαφόρῳ

σὺν ἀριστοκλείδᾳ πρέπει·
ὃς τάνδε νᾶσον εὐκλέ-
ϊ προσέθηκε λόγῳ,
καὶ σεμνὸν ἀγλααῖσι μερίμναις
πυθίου θεάριον. ἐν δὲ πείρᾳ
τέλος διαφαίνεται, ὧν τις
ἐξοχώτερος γένηται.
ἀντ. ἐν παισὶ νέοισι παῖς. ἐν
δ' ἀνδράσιν ἀνήρ. τρίτον
ἐν παλαιτέροισι.
μέρος ἕκαστον οἷον ἔχομεν
βρότεον ἔθνος. ἐλᾷ δὲ καὶ τέσ-
σαρας ἀρετὰς ὁ μακρὸς αἰών. φρονεῖν
δ' ἐνέπει τὸ παρκείμενον.
τῶν οὐκ ἄπεστι χαῖρε
φίλος. ἐγὼ τόδε τοι
πέμπω μεμιγμένον μέλι λευκῷ
σὺν γάλακτι. κιρναμένα δ' ἔερσ' ἀμ-
φέπει πόμ' ἀοίδιμον, αἰο-
λῖσιν ἐν πνοαῖσιν αὐλῶν.
ἐπ. ὀψέ περ. ἔστι δ' αἰε-
τὸς ὠκὺς ἐν πετανοῖς,
ὃς ἔλαβεν αἶψα τη-
λόθεν μεταμαιόμενος.
δαφοινὸν ἄγραν ποσίν.
κραγέται δὲ κο-

λοιοὶ ταπεινὰ νέμονται.
τίν γε μὰν εὐθρόνου κλεοῦς ἐθελοί-
σας, ἀεθλοφόρου λήματος ἕνεκεν,
πιμέας ἐπιδαυρόθεν
τ' ἄπο, καὶ μεγάρων δέδορκεν φάος.

ΤΙΜΑΡΧΩΙ ΑΙΓΙΝΗΤΗι
ΠΑΛΑΙΣΤΗι.
ΜΕΛΟΣ δ'.
Στροφή.

εἰστος εὐφροσύνα
α πόνων κεκριμένων
ἰατρός. αἱ δὲ σοφαὶ
μοισᾶν θυγατέρες ἀοιδαὶ
θέλξαν νιν ἀπτόμεναι.
οὐδὲ θερμὸν ὕδωρ τόσον
γε μαλθακὰ τεύχει
γυῖα τόσσον εὐλογία
φόρμιγγι συνάορος.
ῥῆμα δ' ἐργμάτων χρονιώ-
τερον βιοτεύει.
ὅτι κε σὺν χαρίτων τύχᾳ
γλῶσσα φρενὸς ἐξέλοι βαθείας.
ἀντ. τό μοι θέμεν κρονίδᾳ
τε δί' καὶ νεμέᾳ
τιμασάρχου τε πάλᾳ

ὕμνου προκώμιον εἴη.
δέξαι δ' αἰακιδᾶν
εὔπυργον ἕδος. δίκα
ξεναρκεῖ, κοινὸν
φέγγος. εἰ δέ τι ζαμενεῖ
τιμόκειτε ςαλίῳ
σὸς πατὴρ ἐθάλπετο ποι-
κίλων κιθαρίζων
θαμάκε τῷδε μέλει κλιθεὶς
ὕμνον κελάδησε καλλίνικον
ἐπ. κλεωναίου τ' ἀπ' ἀγῶ-
νος ὅρμον σεφάνων
πέμψαντα καὶ λιπαραῖ
εὐωνύμων ἀπ' ἀθανᾶν
θήβαις τ' ἐν ἑπτὰπύλοις
οὕνεκ' ἀμφιτρύωνος
ἀγλαὸν παρὰ τύμβον
καδμεῖοί νιν οὐκ ἀέκον-
τες ἄνθεσι μίγνυον,
αἰγίνας ἕκατι. φί-
λοισι γὰρ φίλος ἐλθὼν
ξένιον ἄστυ κατέδραμεν
ἡρακλέος ὀλβίαν πρὸς αὐλάν.
στ. 6. ξὺν ᾧ ποτε τροΐαν
καρτερὸς τελαμὼν
πόρθησε, καὶ μέροπας,

καὶ τὸν μέγαν πολεμιστὰν
ἔκπαγλον ἀλκυονῆ·
οὐ τετραωρίας γε πρὶν
δυώδεκα πέτρῳ
ἥρωάς τ' ἐπεμβεβαῶ-
τας ἱπποδάμους ἕλεν
δὶς τόσους, ἀπειρομάχας.
ἐὰν κε φανείη
λόγον ὁ μὴ ξυνιείς. ἐπεὶ
ῥέζοντά τι καὶ παθεῖν ἔοικεν.
ἀντ. τὰ μακρὰ δ' ἐξενέπειν
ἐρύκει με τεθμὸς
ὧραί τ' ἐπειγόμεναι,
ἴυγγι δ' ἕλκομαι ἦτορ
νουμηνίᾳ θιγέμεν
ἔμπα καίπερ ἔχει βαθεῖ-
α ποντιὰς ἅλμα,
μέσον ἀντίτειν' ἐπιβου-
λίᾳ· σφόδρα δόξομεν
δαΐων ὑπέρτεροι ἐν
φάει καταβαίνειν.
φθονερὰ δ' ἄλλος ἀνὴρ βλέπων
γνώμαν κενεὰν σκότῳ κυλίνδει.
ἐπ. χαμαὶ πετοῖσαν, ἐμοὶ
δ' ὁποίαν ἀρετὰν
ἔδωκε πότμος ἄναξ,

εὖ οἶδ᾽ ὅτι χρόνος ἕρπων
πεπρωμέναν τελέσει.
ἐξύφαινε γλυκεῖα,
καὶ τόδ᾽ αὐτίκα φόρμιγξ.
λυδίᾳ σὺν ἁρμονίᾳ.
μέλος πεφιλημένον.
οἰνώνᾳ τε καὶ κύπρῳ
ἔνθα τεῦκρος ἀπάρχει
ὁ τελαμωνιάδας, αὐτὰρ
αἴας σαλαμῖν᾽ ἔχει πατρῴαν
στρ. γ. ἐν εὐξείνῳ πελάγει.
φαεννὰν ἀχιλλεὺς
νᾶσον, θέτις δὲ κρατεῖ
φθίᾳ. νεοπτόλεμος δ᾽ ἀ-
πείρῳ διαπρυσίᾳ.
βουβόται τόθι πρῶνες ἔ-
ξοχοι κατάκεινται.
δωδώναθεν ἀρχόμενοι
πρὸς ἰόνιον πόρον
παλίου δὲ πὰρ ποδὶ λα-
τρείαν ἰαωλκὸν
πολεμίᾳ χειρὶ προστραπὼν
πηλεὺς παρέδωκεν αἱμόνεσσιν
ἀντ. δάμαρτος ἱππολύτας,
ἀκάστου δολίαις
τέχναισι χρησάμενος.

τᾶ δαιδάλου δὲ μαχαίρᾳ
φύτευέ οἱ θάνατον
ἐκλόχου πελίαο παῖς
ἄλαλκε δὲ χείρων·
καὶ τὸ μόρσιμον διόθεν·
πεπρωμένον ἔκφερεν·
πῦρ δὲ παγκρατὲς θρασυο-
μαχᾶν τε λεόντων
ὄνυχας ὀξυτάτους ἀκμὰν
τε δεινοτάτων σχάσαις ὀδόντων,
ἐπ. ἔγαμεν ὑψιθρόνων
μίαν νηρεΐδων,
εἶδεν δ' εὔκυκλον ἕδραν
τὰς, οὐρανοῦ βασιλῆες
πόντου τ' ἐφεζόμενοι
δῶρα καὶ κράτος ἐξέ-
φαναν ἐς γένος αὐτῷ
γαδείρων τὸ πρὸς ζόφον οὐ
περατὸν ἀπότρεπε
αὖτις εὐρώπαν ποτὶ
χέρσον ἔντεα ναός.
ἄπορα γὰρ λόγον αἰακοῦ
παίδων τὸν ἅπαντά μοι διελθεῖν.
στρ. δ. θεανδρίδαισι δ' ἀε-
ξιγυίων ἀέθλων
κάρυξ ἕτοιμος ἔβαν,

ὀλυμπίᾳ

ὀλυμπίᾳ τε, καὶ ἰσθμοῖ
νεμέᾳ τε συνθέμενος·
ἔνθα πεῖραν ἔχοντες, οἴ-
καδε κλυτοκάρπων
οὐ, νέων γ' ἄνευ στεφάνων.
πάτραν νιν ἀκούομεν.
τιμάσαρχε τεαῖς ἐπινι-
κίοισιν ἀοιδαῖσ,
πρόπολον ἔμμεναι. εἰ δέ τοι
μάτρωΐ μ' ἔτι καλλικλεῖ κελεύεις·
ἀντ. στάλαν θέμεν παρίου
λίθου λευκοτέραν,
ὁ χρυσὸς ἑψόμενος,
αὐγὰς ἔδειξεν ἁπάσας·
ὕμνος δὲ τῶν ἀγαθῶν
ἐργμάτων βασιλεῦσιν ἰ-
σοδαίμονα τεύχει
φῶτα. κεῖνος ἀμφ' ἀχέρον-
τι ναιετάων ἐμὰν
γλῶσσαν εὑρέτω κελαδῆ-
τιν. ὀρσοτρίαινα
ἵν' ἐν ἀγῶνι βαρυκτύπου
θάλησε κορινθίοις σελίνοις·
ἐπ. τὸν εὐφάνης ἐθέλων
γεραιὸς προπάτωρ
ὁ σὸς ἀείσεται παῖ.

ἄλλοισι δ᾽ ἅλικες ἄλλοι
τὰ δ᾽ αὐτὸς ἄν τις τύχῃ
ἔλπεταί τις ἕκαστος
ἐξοχώτατα φάσθαι
οἷον αἰνέων κε μελη-
σίαν ἔριδα στρέφοι
ῥήματα πλέκων ἀπά-
λαιστος ἐν λόγῳ ἕλκειν
μαλθακὰ μὲν φρονέων ἐσλοῖς
τραχὺς δὲ παλιγκότοις ἔφεδρος.

ΠΥΘΕΑι ΥΙΩι ΛΑΜΠΩΝΟΣ
ΠΑΓΚΡΑΤΙΑΣΤΗι.
ΜΕΛΟΣ Ε.

στροφή.

o ὐκ ἀνδριαντοποιός εἰ-
μ᾽ ὥστ᾽ ἐλινύσοντ᾽ ἐργάζε-
σθαι ἀγάλματ᾽. ἐπ᾽ αὐτᾶς βαθμίδος
ἑσταότ᾽, ἀλλ᾽ ἐπὶ πάσας
ὁλκάδος, ἔν τ᾽ ἀκάτῳ
στεῖχ᾽ ἀπ᾽ αἰγίνας διαγγέλ-
λοισ᾽ ὅτι λάμπωνος υἱὸς
πυθέας εὐρυσθενὴς,
νικῇ νεμίοις παγκρατίου στέφανον.
οὔ πω γένυς φαίνων τέρειναν

ματέρ' οἰνάνθας ὀπώραν.
ἀντ. ἐκ δὲ κρόνου, καὶ ζηνὸς ἥ-
ρωας αἰχματὰς φυτευθέντας,
καὶ ἀπὸ χρυσέων νηρηΐδων,
αἰακίδας ἐγέραιρεν.
ματρόπολίν τε φίλαν ξένων ἄρουραν
τάν ποτ' εὔανδρόν τε καὶ ναυ-
σικλυτὰν θέσαντο, παρ' βω-
μὸν πατέρος ἑλλανίου
στάντες πίτναντ' ἐς αἰθέρα χεῖρας ἁμᾶ.
ἐνδαΐδος ἀρίγνωτες υἱοὶ,
καὶ βία φώκου κρέοντος.
ἐπ. ὁ τᾶς θεοῦ, ὃν, ψαμάθεια
τίκτ' ἐπὶ ῥηγμῖνι πόντου.
αἰδέομαι μέγα εἰπεῖν, ἐν δίκᾳ τε
μὴ κεκινδυνευμένον.
πῶς δὴ λίπον εὐκλέα νᾶσον.
καὶ τίς ἄνδρας ἀλκίμους
δαίμων ἀποινώσας ἔλασεν, στάσομαι.
οὔτοι ἅπασα κερδίων
φαίνοισα πρόσωπον, ἀλάθει' ἀτρεκής.
καὶ τὸ σιγᾶν πολλάκις ἐστὶ σοφώ-
τατον ἀνθρώπῳ νοῆσαι.
στρ. β. εἰ δ' ὄλβον ἢ χειρῶν βίαν.
ἢ σιδηρίταν ἐπαινῆσαι
πόλεμον δεδόκηται μακρά μοι

δ᾽ αὐτόθεν ἅλμαθ᾽ ὑποσκά-
πτοι τις· ἔχω γονάτων ἐλαφρὰν ὁρμάν·
καὶ πέραν πόντοιο πάλλον-
τ᾽ αἰετοί. πρόφρων δὲ καὶ κεί-
νοις ἀεὶ δει παλίῳ
μοισᾶν ὁ κάλλιστος χορὸς, ἐν δὲ μοίσαις
φόρμιγγ᾽ ἀπόλλων ἑπτάγλωσσον·
χρυσέῳ πλάκτρῳ διώκων,
ἀντ. ἁγεῖτο παντοίων νομῶν·
αἱ δὲ, πρώτιστον μὲν ὕμνησαν·
διὸς ἀρχόμεναι θεμνὰν θέτιν·
πηλέα θ᾽ ὥστε νιν ἁβρὰ
κρηθηὶς ἱππολύτα δόλῳ πεδᾶσαι
ἤθελεν ξυνᾶνα μαγνή-
των σκοπόν· πεῖσαισ᾽ ἀκοίταν,
ποικίλοισι βουλεύμασιν,
ψεύσταν δὲ ποιητὸν συνέπλεξε λόγον
ὡς ἄρα νυμφείας ἐπείρα
κεῖνος ἐν λέκτροις ἀκάστα
ἐπ. εὐνᾶς, τὸ δ᾽ ἐναντίον ἔσκεν·
πολλὰ γάρ μιν παντὶ θυμῷ
παρφαμένα λιτάνευεν· τοῦ δὲ ὀργὰν
κνίζον αἰπεινοὶ λόγοι.
εὐθὺς δ᾽ ἀπανάνατο νύμφαν·
ξεινίου πατρὸς χόλον,
δείσαις ὁ δ᾽ ἐφράσθη κατένευσέν τέ οἱ

ὀρσινεφὴς δ' ἐξ οὐρανοῦ
ζεὺς ἀθανάτων βασιλεὺς ὥστ' ἐν τάχει
ποντίαν χρυσαλακάτων τινὰ νη-
ρηΐδων πράξειν ἄκοιτιν
στ·γ· γαμβρὸν ποσειδάωνα πεί-
σαις. ὃς αἰγᾶθεν ποτὶ κλειτὰν
θαμὰ νίσεται ἰσθμὸν δωρίαν·
ἔνθα μιν εὔφρονες ἶλαι
σὺν καλάμοιο βοᾷ θεὸν δέκονται
καὶ σθένει γυίων ἐρίζων
τι θρασεῖ, πότμος δὲ κρίνει.
συγγενὴς ἔργων πέρι
πάντων. τὺ δ' αἰγίνα θεᾶς εὐθύμενες
νίκας ἐν ἀγκώνεσσι πιτνῶν
ποικίλων ἔψαυσας ὕμνων·
ἀντ. ἤτοι μεταΐξαντα. καὶ
νῦν τεὸς μάτρως ἀγάλλει κεί-
νου ὁμόσπορον ἔθνος πυθέα·
ἁ νεμέα μὲν ἄραρεν,
μείς τ' ἐπιχώριος, ὃν φίλησ' ἀπόλλων.
ἅλικας δ' ἐλθόντας οἴκοι
τε κρατεῖ, νίσου τ' ἐν εὐαγ-
κεῖ λόφῳ· χαίρω δ' ὅτι
ἐσλοῖσι μάρναται πέρι πᾶσα πόλις.
ἴσθι γλυκεῖάν τοι μενάνδρου
σὺν τύχᾳ μόχθων ἀμοιβὰν,

ἐπ. ἐπαύρεο· χρὴ δ' ἀπ' Ἀθανῶν
τέκτον' ἀθληταῖσιν ἔμεν,
εἰ δὲ Θεμίστιον ἵκεις ὥστ' ἀείδειν.
μηκέτι ῥίγει· δίδου
φωνάν, ἀνὰ δ' ἱστία τεῖνον,
πρὸς ζυγὸν καρχασίου.
πύκτατέ νιν καὶ παγκρατίῳ φθέγξαι ἑ-
λεῖν ἐπιδαύρῳ διπλόαν
νικῶντ' ἀρετάν, προθύροισι δ' αἰακοῦ
ἄνθεα ποιάεντα φέρειν στεφανώ-
ματα ξὺν ξανθαῖς χάρισιν.

ΑΛΚΙΜΗΔΕΙ ΑΙΓΙΝΗΤΗι
ΠΑΙΔΙ παλαιστῇ.
ΜΕΛΟΣ ϛ'.

Στροφή.
ἕ ν ἀνδρῶν, ἓν θεῶν γένος, ἐκ
μιᾶς δὲ πνέομεν
ματρὸς ἀμφότεροι
διείργει δὲ πᾶσα κεκριμένα
δύναμις ὡς τὸ μὲν, οὐδὲν
οὐδὲ χάλκεος ἀσφαλὲς αἰὲν ἕδος
μένει οὐρανός· ἀλλά τι προσφέρομεν
ἔμπας, ἢ μέγαν νόον, ἢ
τοι φύσιν ἀθανάτοις

καί περ ἐφαμερίαν
οὐκ εἰδότες, οὐδὲ μετὰ
νύκτας ἄμμε πότμος ἄν τι-
ν' ἔγραψε δραμεῖν ποτὶ στάθμαν.
ἀντ. τεκμαίρει δέ νιν ἀλκιμίδας
τὸ συγγενὲς ἰδεῖν,
ἄγχι καρποφόροις
ἀρούραισιν, αἵτ' ἀμειβόμεναι,
τόκα μὲν ὦν βίον ἄνδρεσ-
σιν ἐπηετανὸν πεδίων ἔδοσαν
τόκα δ' αὖτ' ἀναπαυσάμεναι σθένος ἔ-
μαρψαν. ἦλθέ τοι νεμέας
ἐξ ἐρατῶν ἀέθλων
παῖς ἐναγώνιος ὃς
ταύταν μεθέπων διόθεν
αἶσαν νῦν πέφαντ' οὐκ ἄμμοι-
ρος ἀμφὶ πάλα κυναγέτας.
ἐπ. ἴχνεσιν ἐν πραξιδάμαν-
τος ἑὸν πόδα νέμων.
πατροπάτορος ὁμαιμίου
κεῖνος γὰρ ὀλυμπιόνι-
κος ἐὼν αἰακίδαις
ἔρνεα πρῶτος ἀπ' ἀλφεοῦ
καὶ πεντάκις ἰσθμοῖ
στεφανωσάμενος. νέμεα δὲ τρεῖς
ἔπαυσε λάθαν σωκλείδα

ὃς ὑπέρτατος ἀγησιμάχῳ·
υἱέων γένετο·
στρ. β. ἐπεὶ οἱ τρεῖς ἀεθλοφόροι
πρὸς ἄκρον ἀρετᾶς
ἦλθον· οἵ τε πόνων
ἐγεύσαντο, σὺν θεοῦ δὲ τύχα
ἕτερον οὔ τινα οἶκον
ἀπεφάνατο πυγμαχία
ταμίαν στεφάνων· μυχῷ δ' ἑλλάδος ἁ-
πάσας ἔλπομαι μέγα εἰ-
πὼν τυχεῖν ἄντα σκοποῦ·
ὥ τ' ἀπὸ τόξου ἱεί-
σ' εὔθυν' ἐπὶ τοῦτον ἄγε
μοῖσ' οὖρον ἐπέων εὐκλέα
παροιχομένων γὰρ ἀνέρων
ἀντ. ἀοιδαὶ καὶ λόγοι τὰ καλὰ
σφὶν ἔργ' ἐκόμισαν·
βασσίδαισιν ἅ τ' οὐ
σπανίζει παλαίφατος γενεὰ
ἴδια ναυστολέοντες
ἐπικώμια πιερίδων ἀρόταις
δυνατοὶ παρέχειν πολὺν ὕμνον ἀγε-
ρώχων ἐργμάτων ἕνεκεν·
καὶ γὰρ ἐν ἀγαθέα
χεῖρας ἱμάντι δεθεὶς
πυθῶνι κράτησεν ἀπὸ

ταύτας αἷμα πάτρας χρυσα-
λακάτα τε κα Λλίας ἅδων
ἰπ. ἔρνεσι λατοῦς παρὰ κα-
σταλία τε χαρίτων
ἑσπέριος ὁμάδῳ φλέγεν
πόντου τε γέφυρ' ἀκάμαν-
τος ἐν ἀμφικτυόνων
ταυροφόνῳ τριετηρίδι
τίμασε ποσειδά-
νιον ἂν τέμενος βοτάνα τέ νιν
πόθ' ἁ λέοντος νικάσαν-
τ' ἔρεψ' ἀσκίοις φλιοῦντος ὑπ' ὠ-
γυγίοις ὄρεσιν.
στ. γ. πλατεῖαι πάντοθεν λογίοι-
σιν ἐντὶ πρόσοδοι
νᾶσον εὐκλέα τ' αὖ-
δε κοσμεῖν, ἐπεί σφιν αἰακίδαι
ἔπορον ἔξοχον αἶσαν
ἀρετὰς ἀποδεικνύμενοι μεγάλας
πέταται δ' ἐπί τε χθόνα καὶ διὰ θα-
λάσσας· τηλόθεν γ' οὔνομ' αὐ-
τῶν καὶ ἐς αἰθίοπας
μέμνονος οὐκ ἀπονο-
στάσαντος ἔπαλτο βαρὺ
δέ σφι νεῖκος ἔμπεσ' ἀχιλ-
λεὺς χαμαὶ καββὰς ἀφ' ἁρμάτων,

ἀντ. φαεννᾶς υἱὸν εὖτ' ἐναρί-
ξεν ἀοῦς αἰχμᾶ
ἔγχεος ζακότοι-
ο καὶ ταύταν μὲν παλαιότεροι
ὁδὸν ἀμαξιτὸν εὗρον·
ἕπομαι δὲ καὶ αὐτὸς ἔχων μελέταν·
τὸ δὲ παρ ποδὶ ναὸς ἑλισσόμενον
αἰεὶ κυμάτων λέγεται
παντὶ μάλιστα δονεῖν
θυμόν· ἑκόντι δ' ἐγὼ
νώτῳ μεθέπων δίδυμον
ἄχθος ἄγγελος ἔβαν πέμ-
πτον ἐπ' εἴκοσι τοῦτο γαρύων
ἐπ. εὖχος ἀγώνων ἄπο τοὺς
ἐνέπουσιν ἱερούς·
ἀλκιμίδα σέ γ' ἐπάρκεσε
κλιτᾷ γενεᾷ· δύο μὲν
κρονίου πάρ τεμένει.
παῖ, σέ τ' ἐνόσφισε τιμίδαν
κλᾶρος προπετὴς ἄν.
θε ὀλυμπιάδος δελφῖνι κεν
τάχος δι' ἅλμας ἴσον εἴποι-
μι μελησίαν χερῶν τε καὶ ἰ-
σχύος ἀνίοχον.

ΣΩΓΕΝΕΙ Αἰγινήτῃ παιδὶ πεντάθλῳ.

ΜΕΛΟΣ ζ.

στροφή.

Ε λείθεια πάρεδρος μοιρᾶν βαθυφρόνων
παῖ μεγαλοσθένεος ἄκουσον
ἥρας γενέτειρα τέκνων· ἄνευ σέθεν
οὐ φάος οὐ μέλαιναν δρακέντες εὐφρόναν
τεὰν ἀδελφεὰν λάχομεν,
ἀγλαόγυιον ἥβαν.
ἀναπνέομεν δ' οὐχ ἅπαντες ἐπὶ ἴσος
εἴργει δὲ πότμῳ ζυγὸν
θ' ἕτερον ἕτερα σὺν δὲ τίν
καὶ παῖς ὁ θεαρίωνος ἀρετᾷ κριθεὶς
εὔδοξος ἀείδεται σω-
γένης μετὰ πενταέθλοις.

ἀντ. πόλιν γὰρ φιλόμολπον οἰκεῖ δορικτύπων
αἰακιδᾶν· μάλα δ' ἐθέλοντι
σύμπειρον ἀγωνίᾳ θυμὸν ἀμφέπειν
εἰ δὲ τύχῃ τις ἔρδων μελίφρον' αἰτίαν
ῥοαῖσι μοισᾶν ἔβαλεν
ταὶ μεγάλαι γὰρ ἀλκαὶ
σκότον πολὺν ὕμνων ἔχοντι δεόμεναι.
ἔργοις δὲ καλοῖς ἔσο-
πτρον ἴσαμεν ἐνὶ σὺν τρόπῳ.

εἰ μνημοσύνασ ἕκατι λιπαράμπυκος
εὕρηταί τισ ἄποινα μόχθων
κλυταῖς ἐπέων ἀοιδαῖς
ἐπ. σοφοὶ δὲ μέλλοντα τριταῖον ἄνεμον
ἔμαθον οὐδ' ὑπὸ κέρδει βάλον
ἀφνεὸς πενιχρός τε θανάτου
παρὰ σῶμα νέονται
ἐγὼ δὲ πλέον ἔλπομαι
λόγον ὀδυσσέως ἢ πάθεν
διὰ τὸν ἁδυεπῆ γενέσθ' ὅμηρον.
στρ. β. ἐπεὶ ψεύδεσίν οἱ ποτανᾷ μαχανᾷ
σεμνὸν ἔπεστί τι. σοφία δὲ
κλέπτει παράγοισα μύθοις τυφλὸν δ' ἔχει
ἦτορ ὅμιλος ἀνδρῶν ὁ πλεῖστος εἰ γὰρ ἦν
ἑὰν ἀλάθειαν ἰδέμεν
οὔκεν ὅπλων χολωθεὶσ
ὁ καρτερὸς αἴασ ἔπαξεν διὰ φρενῶν
λευρὸν ξίφος ὃν κράτι-
στον ἀχιλλέος ἄτερ μάχᾳ
ξανθῷ μενέλᾳ δάμαρτα κομίσαι θοαῖς
ἐν ναυσὶ πόρευσαν εὐθυ-
πνόου ζεφύροιο πομπαί.
ἀντ. πρὸς ἶλου πόλιν. ἀλλὰ κοινὸν γὰρ ἔρχεται
κῦμ' ἀΐδαο πέσε δ' ἀδόκητον
ἐν καὶ δοκέοντα. τιμὰ δὲ γίνεται
ὧν θεὸς ἁβρὸν αὔξει λόγον τεθνακότων

βοαθόων τοι γὰρ μέγαν
ὀμφαλὸν εὐρυκόλπου
ἔμολε χθονὸς ἐν πυθίοις δὲ δαπέδοις
κεῖται πριάμου πόλιν
νεοπτόλεμος ἐπεὶ παράθεν
τῇ καὶ δαναοὶ πόνησαν· ὁ δ' ἀπὸ πλέων
σκίρου μὲν ἅμαρτεν ἵκον-
το δ' εἰς ἔφυραν πλαχθέντες·
ἐπ. μολοσίᾳ δ' ἐμβασίλευεν ὀλίγον
χρόνον, αὐτὰρ γένος αἰεὶ φέρει
τοῦτό οἱ γέρας. ᾤχετο δὲ πρὸς
θεὸν κτέα τ' ἀγάγων τρω-
ίαθεν ἀκροθινίων θ'
ἵνα κρεῶν νιν ὑπὲρ μάχας
ἔλασεν ἀντιτυχόντ' ἀνὴρ μαχαίρᾳ.
στ. γ. βάρυνθεν περισσὰ δελφοὶ ξεναγέται.
ἀλλὰ τὸ μόρσιμον ἀπέδωκεν
ἐχρῆν δέ τι ἔνδον ἄλσει παλαιτάτῳ,
αἰακιδᾶν κρεόντων. τὸ λοιπὸν ἔμμεναι.
θεοῦ παρ' εὐτείχεα δόμον.
ἡρωΐαις δὲ πομπαῖς
θεμίσκοπον οἰκεῖν ἐόντα πολυθύτοις
εὐώνυμον ἐς δίκαν
τρία ἔπεα διαρκέσει.
οὐ ψεῦδις ὁ μάρτυς ἔργμασιν ἐπιστατεῖ.
αἴγινα τεῶν διός τ' ἐκ-

γόνων. θρασύ μοι τόδ' εἰπεῖν,
ἀντ. φαενναῖς ἀρεταῖς ὁδὸν κυρίαν λόγων
›› οἴκοθεν, ἀλλὰ γὰρ ἀνάπαυσις
›› ἐν παντὶ γλυκεῖα ἔργῳ. κόρον δ' ἔχει
›› καὶ μέλι, καὶ τὰ τέρπν' ἄνθε' ἀφροδίσια.
φυᾷ δ' ἕκαστος διαφέρο-
μεν βιοτὰν λαχόντες
ὁ μὲν, τά. τά δ' ἄλλοι τυχεῖν δ' ἐν' ἀδύνα (τον,
εὐδαιμονίαν ἅπα-
σαν ἀνελόμενον οὐκ ἔχω
εἰπεῖν τίνι τοῦτο μοῖρα τέλος ἔμπεδον
ὤρεξε. θεαρίων. τὶν
δ' ἐοικότα καιρὸν ὄλβου
ἐπ. δίδωσι. τόλμαν τε καλῶν ἀραμένῳ
σύνεσις οὐκ ἀποβλάπτει φρενῶν.
›› ξεῖνος εἰμὶ σκοτεινὸν ἀπέχων
ψόγον ὕδατος ὥτε
ῥοὰς φίλον ἐς ἄνδρ' ἄγων
· κλέος ἐτήτυμον αἰνέσω.
ποτίφορος δ' ἀγαθοῖσι μισθὸς οὗτος.
στρ. δ. ἐὼν δ' ἐγγὺς ἀχαιὸς οὐ μέμψεταί μ' ἀνὴρ
ἰονίας ὑπὲρ ἁλὸς οἰκέων,
καὶ προξενίᾳ πέποιθ' ἔν τε δαμόταις
ὄμμασι δέρκομαι λαμπρὸν οὐχ ὑπερβάλ- (λων
· βίαια πάντ' ἐκ ποδὸς ἐρύ-
σαις. ὁ δὲ λοιπὸς εὔφρων

ποτὶ χρόνοσ ἕρποι. μαθὼν δέ τις ἂν ἔροι
εἰ πὰρ μέλος ἔρχομαι.
ψέγιον ὄναρον ἐνέπων
εὐξενίδα πάτραθε σώγενες, ἀπομνύω
μὴ τέρμα προβὰς ἄκονθ' ὥς-
τε χαλκοπάραον ὄρσαι
ἀντ. θοὰν γλῶσσαν ὃς ἐξέπεμψε παλαισμάτων
αὐχένα καὶ σθένος ἀδίαντον.
αἴθωνι πρὸς ἁλίω γυῖον ἐμπεσεῖν.
εἰ πόνος ἦν, τὸ τερπνὸν πλέον πεδέρχεται
ἔα με νικῶντι γε χάριν
εἴ τι πὲρ ἂν ἀερθεὶς
ἀνέκραγον οὐ τραχύς εἰμι καταθέμεν
εἴρειν στεφάνους ἐλα-
φρὸν ἀναβάλλεο μοῖσά τοι
κολλᾷ. χρυσόν ἔν τε λευκὸν ἐλέφανθ' ἁμᾶ
καὶ λείριον ἄνθεμον, πον-
τίασ ὑφελοῖσ' ἐέρσας.
ἐπ. διὸς δὲ μεμναμένος ἀμφὶ νεμέα,
πολυφάτων ὕμνων θρόον δόνει.
ἡσυχῆ, βασιλῆα δὲ θεῶν
πρέπει δάπεδον ἂν τὸ
δὲ γαρυέμεν θευμβρᾶ
ὀπὶ, λέγοντι γὰρ αἰακὸν
μιν ὑπὸ ματροδόκοισ γοναῖς φυτεῦσαι.
στρ. ε. ἐμᾷ μὲν πολίαρχον εὐωνύμῳ πάτρᾳ.

ἡράκλεες· σέο δὲ προπρεῶνα
μὲν ξεῖνον ἀδελφεόν τ' εἰ δὲ γεύεται
ἀνδρὸς ἀνήρ· τί φαῖμεν κε γείτον' ἔμμεναι
νόῳ φιλήσαντά γ' ἀτενεῖ
γείτονι χάρμα πάντων,
ἐπάξιον, εἰ δ' αὐτὸ καὶ θεὸς ἀν ἔχοι·
ἐν τὶν κ' ἐθέλει γιγάν-
τας ὃς ἐδάμασας εὐτυχῶς
ναίειν πατρὶ σωγένης ἀταλὸν ἀμφέπων
θυμὸν προγόνων εὐκτή-
μονα ζαθέαν ἀγυιάν
ἀντ. ἐπεί τετραόροισιν ὥθ' ἁρμάτων ζυγοῖς
ἐν τεμένεσσι δόμον ἔχει τε-
οῖς ἀμφοτέρας ἰὼν χειρὸς ὦ μάκαρ.
τὶν δ' ἐπέοικεν ἥραν πόσιν τε πειθέμεν
κόραν τε γλαυκώπιδα δύνα-
σαι δὲ βροτοῖσιν ἀλκὰν
ἀμαχανιᾶν δυσβάτων θαμὰ διδόμεν
εἰ γάρ σφισιν ἐμπεδο-
σθενέα βίοτον ἁρμόσαις
ἥβᾳ λιπαρῷ τε γήρᾳ διαπλέκοις εὐ-
δαίμονα ἐόντα παίδων
δὲ παῖδες ἔχοιεν αἰεὶ
ἐπ. γέρας, τό περ νῦν καὶ ἄρειον ὄπιθεν
τὸ δ' ἐμὸν οὔ ποτε φάσει κέαρ
ἀτρόποισι νεοπτόλεμον ἑλ-

κύσαι

κύσαι ἔπεσι· ταῦτα
δὲ τρεῖς τετράκις τ' ἀμπολεῖν
ἀπορία τελέθει τέκνοι-
σιν ἅτε μαψυλάκας διὸς κόρινθος·

ΔΕΙΝΙΑι ΥΙΩι ΜΕΓΑι ΣΤΑ-
ΔΙΕΙ. ΜΕΛΟΣ ή.

Στροφή.

ὤρα πότνια· κάρυξ
ἀφροδίτας ἀμβροσίων φιλοτάτων
ἅτε παρθενίοισι παίδων τ' ἐφίζοι-
σα βλεφάροις, τὸν μὲν, ἀμβρόις ἀνάγκας
χερσὶ βαστάζεις, ἕτερον δ' ἑτέραις·
ἀγαπατὰ δὲ καιροῦ μὴ πλαναθέν-
τα, πρὸς ἔργον ἕκαστον
τῶν ἀρειόνων ἐρώ-
των ἐπικρατεῖν δύνασθαι,

ἀντ. οἷοι καὶ διὸς αἰγί-
νας τε λέκτρον ποιμένες ἀμφεπόλησαν,
κυπρίας δώρων· ἔβλαστε δ' υἱὸς οἰνό-
νας βασιλεὺς χειρὶ, καὶ βουλαῖς ἄριστος
πολλά νιν πολλοὶ λιτάνευον ἰδεῖν·
ἀβοατὶ γὰρ ἡρώων ἄωτοι
περιναιεταόντων
ἤθελον κείνου γε πεί-

θεσθ' αὖ ἀξίαις ἑκόντες·
ἐπω. οἵ τε κραναᾶις ἐν ἀθά-
ναισιν ἅρμοζον στρατὸν,
οἵ τ' ἀνὰ σπάρταν πελοπηΐδαι ἱ-
κέτας αἰακοῦ σεμνῶν γονάτων
πόλιός θ' ὑπὲρ φίλας ἀστῶν
θ' ὑπὲρ τῶν δ' ἅπτομαι φέρων λυδί-
αν μίτραν καναχηδὰ πεποικιλμέναν,
δείνιδος δισσῶν σταδίων καὶ πατρὸς μέγα
νέμειον ἄγαλμα.
» σὺν θεῷ γάρ τοι φυτευθεὶς
» ὄλβος ἀνθρώποισι παρμονώτερος,
στρ. β. ὥσπερ καὶ κινύραν ἔ-
βρισε πλούτῳ ποντίᾳ ἔν ποτε κύπρῳ
ἵσταμαι δὴ ποσσὶ κούφοις ἀμπνέων
τε πρίν τι φάμεν· πολλὰ γὰρ πολλᾷ λέλε-
κται. νεαρὰ δ' ἐξευρόντα δόμεναι
βασάνῳ ἐς ἔλεγχον ἅπας κίνδυ-
νος ὄψον φθονεροῖσιν·
ἅπτεται δ' ἐσλῶν ἀεί,
χειρόνεσσι δ' οὐκ ἐρίζει·
ἀντ. κεῖνος καὶ τελαμῶνος
δάψεν υἱὸν φασγάνῳ ἀμφικυλίσαις,
ἦ τιν' ἄγλωσσον μὲν, ἦτορ δ' ἄλκιμον,
λάθρα κατέχει λυγρῷ νείκει μέγιστον
δ' αἰόλῳ ψεύδει γέρας ἀντέταται.

κρυφίαισι γὰρ ἐν ψάφοις ὀδυσσῆ
δαναοὶ θεράπευσαν·
χρυσέων δ' αἴας στερη-
θεὶς ὅπλων φόνῳ πάλαισεν·
ἐπ. ἦ μὰν ἀνόμοιά γε δαΐ-
οισιν ἐν θερμῷ χροῒ,
ἕλκεα ῥῆξαν πολεμιζόμενοι
ὑπ' ἀλεξιμβρότῳ λόγχᾳ τὰ μὲν,
ἀμφ' ἀχιλλεῖ νεοκτόνῳ
ἄλλων τε μόχθων πολυφθόροισιν ἐν
ἁμέραις· ἐχθρὰ δ' ἄρα πάρφασις ἦν,
καὶ πάλαι αἱμύλων μύθων ὁμόφοι-
τος δολοφραδὴς κακοποιὸν ὄνειδος.
ἃ τὸ μὲν λαμπρὸν βιᾶται·
τῶν δ' ἀφάντων κῦδος ἀντείνει σαθρόν.
στ. γ. εἴη μή ποτέ μοι τοι-
οῦτον ἦθος ζεῦ πάτερ. ἀλλὰ κελεύθοις
ἁπλόαις ζωᾶς ἐφαπτοίμαν θανὼν
ὡς παισὶ κλέα. μὴ τὸ δύσφαμον προσάψω
χρυσὸν εὔχονται. πεδίον δ' ἕτεροι
ἀπέραντον· ἐγὼ δ' ἀστοῖς ἁδὼν, καὶ
χθονὶ γυῖα καλύψαι·
αἰνέων αἰνητὰ, μομ-
φὰν δ' ἐπισπείρων ἀλιτροῖς.
ἀντ. αὔξεται δ' ἀρετὰ χλω-
ραῖς ἐέρσαις, ὡς ὅτε δένδρον ἀΐσ-

σει σοφοῖς ἀνδρῶν ἀερθεὶς ἐν δικαί-
οις τε πρὸς ὑγρὸν αἰθέρα· χρεῖαι δὲ παντοῖ-
αι φίλων ἀνδρῶν τὰ μὲν ἀμφὶ πόνοις
ὑπερώτατα· μαστεύει δὲ καὶ τέρ-
ψις ἐν ὄμμασι θέσθαι
πιστὸν ὦ μέγα τὸ δ' αὖ-
τις τεὰν ψυχὰν κομίξαι,
ἐπ. οὔ μοι δυνατὸν κενεᾶν
δ' ἐλπίδων χαῦνον τέλος
σεῦ δὲ πάτρα, χαριάδαις τε λάβρον
ὑπερεῖσαι λίθον μοισαῖον ἕ-
κατι ποδῶν εὐωνύμων
δὶς δὴ δυοῖν. χαίρω δὲ πρόσφορον
ἐν μὲν ἔργῳ κόμπον ἱεὶς ἐπαοι-
δαῖς δ' ἀνὴρ νώδυνον καί τις κάματον
θῆκεν ἦγε μὰν ἐπικώμιος ὕμνος,
δὴ πάλαι, καὶ πρὶν γενέσθαι
τὰν ἀδράστου, τάν τε καδμείων ἔριν.

ΧΡΟΜΙΩι ΑΙΤΝΑίῳ ἅρματι.
ΜΕΛΟΣ θ'.

Στροφή.
ωμάσομεν παρ' ἀπόλλω-
κ νος σικυωνόθε μοῖσαι,
τὰν νεοκτίσταν εἰς αἴτναν

ἔνθ' ἀνάπεπταμέναι
ξείνων νενίκανται θύραι
ὄλβιον ἐς χρομίου
δῶμ'. ἀλλ' ἐπέων γλυκὺν ὕμνον πράσσετε
τὸ κρατίστευσον γὰρ ἐς ἅρμ' ἀναβαίνων,
ματρί, καὶ διδύμοις
παίδεσσιν αὐδὰν μανύει
πυθῶνος αἰπεινᾶς ὁμο-
κλάροις ἐπόπταις
ἀντ. ἔστι δέ τις λόγος ἀνθρώ-
πων τετελεσμένον ἐσλὸν
μὴ χαμαὶ σιγᾷ καλύψαι
θεσπεσία δ' ἐπέων,
καύχας ἀοιδὰ πρόσφορος.
ἀλλ' ἀνὰ μὲν βρομίαν
φόρμιγγ'. ἀνὰ δ' αὐλὸν ἐπ' αὐτὰν ὄρσωμεν
ἱππείων ἀέθλων κορυφάν, ἅτε φοίβῳ
θῆκεν ἄδραστος ἐπ' ἀ-
σωποῦ ῥεέθροις. ὧν ἐγὼ
μνασθεὶς ἐπασκήσω κλυταῖς
ἥρωα τιμαῖς.
ἐπ. ὃς τότε μὲν βασιλεύων
κεῖθι νέαισί θ' ἑορταῖς
ἰσχύος τ' ἀνδρῶν ἁμίλλαις
ἅρμασί τε γλαφυροῖς
ἄμφαινε κυδαίνων πόλιν

φεῦγε γὰρ ἀμφιαρή-
όν τε θρασυμήδεα, καὶ δεινὰν στάσιν
πατρῴων οἴκων, ἀπό τ' ἄργεος ἀρχοὶ
δ' οὐκ ἔτ' ἔσαν ταλαοῦ
παῖδες βιασθέντες λύᾳ
κρέσσων δὲ καταπαύει δίκαν
τὰν πρόσθεν ἀνήρ,
στρ. β. ἀνδρομέδαν τ' ἐριφύλαν
ὅρκιον ὡς ὅτε πιστόν.
δόντες οἰκλείδᾳ γυναῖκα.
ξανθοκομᾶν δαναῶν
ἦσαν μέγιστοι, καί ποτ' ἐς
ἑπταπύλους θήβας
ἄγαγον ἀνδρῶν στρατὸν αἰσιᾶν οὐ κα-
τ' ὀρνίχων ὁδὸν οὐδὲ κρονίων
ἀστεροπὰν ἐλελί-
ξαις οἴκοθεν μαργουμένους
στείχειν ἐπῶξαι, ἀλλὰ φεί-
σασθαι κελεύθου.
ἀντ. φαινομέναν δ' ἐς ἄταν
σπεῦδεν ὅμιλος ἱκέσθαι.
χαλκέοις ὅπλοισιν ἱππεί-
οις τε σὺν ἔντεσιν ἰ-
σμηνοῦ δ' ἐπ' ὄχθαισι γλυκὺν
νόστον ἐρυσάμενοι
λευκανθέα σώματ' ἐπίαναν καπνόν

ἑπτὰ γὰρ δαίσαντο πυραὶ νεογυίους
φῶτας, ὁ δ' ἀμφιαρεῖ
σχίσεν κεραυνῷ παμβίᾳ
ζεὺς τὰν βαθύστερνον χθόνα
κρύψεν δ' ἅμ' ἵπποις
ἐπ. δουρὶ περικλυμένου πρὶν
νῶτα τυπέντα μαχατὰν
θυμὸν αἰσχυνθῆμεν. ἐν γὰρ
δαιμονίοισι φόβοις
φεύγοντι καὶ παῖδες θεῶν.
εἰ δυνατὸν κρονίων
πεῖραν μὲν ἀγάνορα φοινικοστόλων
ἐγχέων ταύταν θανάτου πέρι καὶ ζω-
ᾶς ἀναβάλλομαι. ὡς
πόρσιστα. μοῖραν δ' εὔνομον
αἰτέω σε παισὶν δαρὸν αἰ-
τναίων ὀπάζειν,
στρ. γ. ζεῦ πάτερ. ἀγλαΐαισιν
δ' ἀστυνόμοις ἐπιμῖξαι
λαόν, ἐντί τοι φίλιπποί
τ' αὐτόθι καὶ κτεάνων
ψυχὰς ἔχοντες κρέσσονας
ἄνδρες ἄπιστον ἔειπ'.
αἰδὼς γὰρ ὑπὸ κρύφα κέρδει κλέπτεται
ἃ φέρει δόξαν χρομίῳ κεν ὑπασπί-
ζων παρὰ πεζοβόαις.

ἵπποις τε ναῶν τ' ἐν μάχαις
ἔκρινας ἂν κίνδυνον ὀ-
ξείας αὐτᾶς.
ἀντ. οὕνεκεν ἐν πολέμῳ κεί-
να θεὸς ἔντυεν αὐτοῦ
θυμὸν αἰχματὰν ἀμύνειν.
λοιγὸν ἐνυαλίου
παῦροι δὲ βουλεῦσαι φόνου
παρποδίου νεφέλαν
τρέψαι ποτὶ δυσμενέων ἀνδρῶν στίχας
χερσὶ, καὶ ψυχᾷ δυνατοί· λέγεται μὰν
ἕκτορι μὲν κλέος ἀν-
θῆσαι σκαμάνδρου χεύμασιν.
ἀγχοῦ, βαθυκρήμνοισι δ' ἀμ-
φ' ἀκταῖς ἑλώρου
ἐπ. ἔνθ' ἀρείας πόρον ἄνθρω-
ποι καλέοισι δέδορκεν
παιδὶ τοῦτ' ἀγησιδάμου
φέγγος ἐν ἁλικίᾳ
πρώτᾳ· τὰ δ' ἄλλαις ἁμέραις
πολλὰ μὲν ἐν κονίᾳ
χέρσῳ τὰ δὲ, γείτονι πόντῳ φάσομαι.
ἐκ πόνων δ' οἱ σὺν νεότατι γένωνται
σύν τε δίκα τελέθει
πρὸς γῆρας αἰὼν ἁμέρα.
ἴστω λαχὼν πρὸς δαιμόνων

θαυμαστὸν ὄλβον.
στρ. δ. εἰ γὰρ ἅμα κτεάνοις πολ-
λοῖς ἐπίδοξον ἄρηται
κῦδος οὐκ ἔτ᾽ ἐστὶ πρόσω
θνατὸν ἔτι σκοπιᾶς
ἄλλας ἐφάψασθαι ποδοῖν
ἡσυχίαν δὲ φιλεῖ
μὲν συμπόσιον νεοθαλὴς δ᾽ αὔξεται
μαλθακᾷ νικαφορίᾳ σὺν ἀοιδᾷ.
θαρσαλέα δὲ παρὰ
κρητῆρα φωνὰ γίνεται
ἐγκιρνάτω τίς μιν γλυκὺν
κώμου προφάταν.
ἀντ. ἀργυρέαισι δὲ νωμά-
τω φιάλαισι βιατὰν
ἀμπέλου παῖδ᾽ ἅς ποθ᾽ ἵπποι
κτησάμεναι χρομίῳ
πέμψαν θεμιπλέκτοις ἅμα
λατοΐδα στεφάνοις
ἐκ τᾶς ἱερᾶς σικυῶνος ζεῦ πάτερ.
εὔχομαι ταύταν ἀρετὰν κελαδῆσαι
σὺν χαρίτεσσιν ὑπὲρ
πολλῶν τε τιμαλφεῖν λόγοις
νικᾶν ἀκοντίζων σκοποῦ
ἄγχιστα μοισᾶν.

ΘΕΙΑΙΩι ΠΑΙΔΙ ΗΛΙΟΥ ΠΑΛΑΙΣΤΗι.

ΜΕΛΟΣ ί.

ϛροφή.

αναοῦ πόλιν ἀγλαο-
Δ θρόνων τε πεντήκοντα κοραῖν χάρι
ἄργος ἥρας δῶμα θεοπρεπὲς ὑ- (τες
μνεῖτε. φλέγεται δ' ἀρεταῖς
μυρίαις ἔργων θρασέων ἕνεκεν
μακρὰ μὲν τὰ περσέως ἀμ-
φὶ μεδοίσας γοργόνος
πολλὰ δ' αἰγύπτῳ κατῴκισθεν ἄϛη
ταῖς ἐπάφου παλάμαις,
οὐδ' ὑπερμήϛρα παρεπλάγχθη μονό-
ψαφον ἐν κολεῷ κατασχοῖσα ξίφος.
ἀντ. διομήδεα δ' ἄμβροτον
ξανθά ποτε γλαυκῶπις ἔθηκε θεὸν
γαῖα δ' ἐν θήβαις ὑπέδεκτο κεραυ-
νῷ θεῖσα διὸς βέλεσιν,
μάντιν οἰκλείδαν πολέμοιο νέφος.
καὶ γυναιξὶ καλλικόμοι-
σιν ἀριστεύει πάλαι
ζεὺς ἐπ' ἀλκμαίναν, δανάαν τε μολὼν,
τὸν κατέφανε λόγον.
πατρὶ τ' ἀδράστοιο λυγκεῖ τε φρενῶν

καρπὸν εὐθείᾳ συνάμορξεν δίκᾳ·
θρέψατο δ' αἰχμὰν ἀμφιτρύ-
ωνος. ὁ δ' ὄλβῳ φέρτατος
ἵκετ' ἐς κείνου γενεάν·
ἐπεὶ καὶ ἐν χαλκέοις ὅπλοις
τηλεβόας ἔναρεν· τί οἱ
ὄψιν ἐειδόμενος
ἀθανάτων βασιλεὺς αὐλὰν ἐσῆλθεν
σπέρμ' ἀδείμαντον φέρων,
ἡρακλέος, οὗ κατ' ὄλυμπον
ἄλοχος ἥβα τελεία
παρὰ ματέρι βαίνοι-
σ' ἔστι, κάλλιστα θεῶν.
ςρ. β. Βραχύ μοι στόμα πάντ' ἀνα-
γήσασθ' ὅσων ἀργεῖον ἔχει τέμενος
μοῖραν ἐσλῶν· ἔστι δὲ καὶ κόρος ἀν-
θρώπων βαρὺς ἀντιάσαι.
ἀλλ' ὅμως εὔχορδον ἔγειρε λύραν,
καὶ παλαισμάτων λάβε φρον-
τίδ'· ἀγών τοι χάλκεος
δᾶμον ὀτρύνει ποτὶ θυσίαν ἥ-
ρας ἀέθλων τε κρίσιν.
οὐλία παῖς ἔνθα νικάσαις δὶς ἔ-
σχεν θεαῖος εὐφόρων λάθαν πόνων.
ἀντ. ἐκράτησε δὲ καί ποθ' ἕλ-
λανα στρατὸν πυθῶνι τύχᾳ τε μολὼν

καὶ ἐν ἰσθμοῖ, καὶ νεμέα στέφανον,
μοίσαισι τ' ἔδωκ' ἀρόσαι.
τρὶς μὲν ἐν πόντοιο πύλαισι λαχὼν
τρὶς δὲ καὶ σεμνοῖς δαπέδοις,
ἐν ἀδραστείῳ νόμῳ.
ζεῦ πάτερ· τῶν μὲν ἔραται φρενὶ σιγᾷ
οἱ στόμα. πᾶν δὲ τέλος
ἐν τὶν ἔργων· οὐδ' ἀμόχθῳ καρδίᾳ
προσφέρων τόλμαν παραιτεῖται χάριν.
ἐπω. γνώτ' ἀείδω θεῷ τε
χ' ὥς τις ἁμιλλᾶται περὶ
ἐσχάτων ἀέθλων κορυφαῖς
ὕπατον δ' ἔσχεν πίσα
ἡρακλέος τεθμὸν ἁδεῖ-
αι γε μὲν ἀμβολάδαν
ἐν τελεταῖς δίς· ἀθαναίων νιν ὀμφαὶ
κώμασαν· γαίᾳ δὲ καυ-
θείσᾳ πυρὶ καρπὸς ἐλαίας
ἔμολεν ἥρας τὸν εὐά-
νορα λαὸν ἐν ἀγγέων
ἕρκεσι παμποικίλοις
στρ. γ. ἕπεται δὲ θεαῖε μα-
τρώων πολύγνωτον γένος ὑμετέρων
εὐάγων τιμὰ χαρίτεσί τε, καὶ
τυνδαρίδαισι θαμάκις,
ἀξιωθείην κεν ἐὼν θρασύκλου

αὐτία τε σύστονος ἀρ-
γεῖ μὴ κρύπτειν φάος
ὀμμάτων. νικαφορίαις γὰρ ὅσαις ἱπ-
ποτρόφον ἄστυ τὸ προί-
τοιο θάλησεν. κορίνθου τ' ἐν μυχοῖς
καὶ κλεωναίων πρὸς ἀνδρῶν τετρακίς.

ἀντ. σικυωνόθεν δ' ἀργυρω-
θέντες σὺν οἰνηραῖς φιάλαισ' ἐπέβαν.
ἐκ δὲ πελλάνασ' ἐπιεσσάμενοι
νῶτον μαλακαῖσι κρόκαις
ἀλλὰ χαλκὸν μυρίον οὐ δυνατὸν
ἐξελέγχειν μακροτέρασ'
γὰρ ἀριθμῆσαι σχολᾶς
ὅν τε κλείτωρ, καὶ τεγέα, καὶ ἀχαιῶν
ὑψίβατοι πόλιες
καὶ λύκαιον παρ διὸς θῆκεν δρόμῳ,
σὺν ποδῶν τε χειρῶν νικᾶσαι σθένει.

ἐπ. κάστορος δ' ἐλθόντος ἐπὶ
ξενίαν παρὰ παμφάη,
καὶ κασιγνήτου, πολυδεύ-
κεος οὐ θαῦμα σφίσιν
ἐγγενὲς ἔμμεν ἀεθλη-
ταῖς ἀγαθοῖσιν ἐπεὶ
εὐρυχόρου ταμίαι σπάρτας ἀγώνων
μοιρᾶν ἑρμᾶ, καὶ σὺν ἡ-
ρακλεῖ διέποντι θάλειαν

μάλα μὲν ἀνδρῶν δικαίων
περικαδόμενοι, καὶ
μὰν θεῶν πιστὸν γένος,
στρ. δ. μεταμειβόμενοι δ' ἐναλ-
λὰξ ἁμέραν τὰν πατρὶ φίλῳ δὶ νέ-
μονται, τάνθ' ὑπὸ κεύθεσι γαίας,
ἐν γυάλοισι θεράπνας
πότμον ἀμπιπλάντες ὁμοῖον· ἐπεὶ
τοῦτον, ἢ πάμπαν θεὸς ἔμ-
μεναι· οἰκεῖν τ' οὐρανῷ
εἵλετ' αἰῶνα φθιμένου πολυδεύκης
κάστορος ἐν πολέμῳ,
τὸν γὰρ ἴδας ἀμφὶ βουσίν πως χολο-
θεὶς ἔτρωσε χαλκέας λόγχης αἰχμᾷ
ἀντ. ἀπὸ ταϋγέτου πεδαυ-
γάζων ἴδε λυγκεὺς δρυὸς ἐν στελέχει
ἡμένως· κείνου γὰρ ἐπιχθονίων
πάντων γένετ' ὀξύτατον
ὄμμα. λαιψηροῖς δὲ πόδεσσιν ἄφαρ
ἐξικέσθαν καὶ μέγα ἔρ-
γον ἐμήσαντ' ὠκέως
καὶ πάθον δεινὸν παλάμαις ἀφαρητί-
δαι διός. αὐτίκα γὰρ
ἦλθε λήδας παῖς διώκων· τοὶ δ' ἔναν-
τα στάθεν τύμβῳ σχεδὸν πατρώῳ.
ἐπ. ἔνθεν ἁρπάξαντες ἄ-

χαλμ' ἀΐδα ξεστὸν πέτρον
ἔμβαλον στέρνῳ πολυδεύ-
κεος, ἀλλ' οὔ νιν φλάσαν
οὐδ' ἀνέχασσαν· ἐφορμα-
θεὶς δ' ἄρ' ἄκοντι θοῷ
ἤλασε λυγκέος ἐν πλευραῖσι χαλκόν.
Ζεὺς δ' ἐπ' ἴδᾳ πυρφόρον
πλᾶξε ψολόεντα κεραυνόν.
ἁμᾶ δὲ κέοντ' ἔρημοι
χαλεπὰ δ' ἔρις ἀνθρώ-
ποις ὁμιλεῖν κρεσσόνων.
στρ. ε. ταχέως δ' ἐπ' ἀδελφεοῦ,
βίαν πάλιν χώρησεν ὁ τυνδαρίδας
καί μιν οὔπω τεθναότ'. ἄσθματι δὲ
φρίσσοντ' ἀμπνοὰς κίχεν.
θερμὰ δὲ τέγγων δάκρυα στοναχαῖς,
ὄρθιον φώνασε πάτερ
κρονίων. τίς δὴ λύσις
ἔσσεται πενθέων, καὶ ἐμοὶ θάνατον σὺν
τῷδ' ἐπίτειλον ἄναξ.
οἴχεται τιμὰ φίλων τατωμένῳ
φωτί. παῦροι δ' ἐν πόνῳ πιστοὶ βροτῶν
ἀντ. καμάτου μεταλαμβάνειν.
ὣς ἤνεπε. Ζεὺς δ' ἀντίος ἤλυθέ οἱ.
καὶ τόδ' ἐξαύδασ' ἔπος. ἐσσί μοι υἱ-
ὸς, τόνδε δ' ἔπειτα πόσις

σπέρμα θνατὸν ματρὶ τεᾷ πελάσαις
ἔσταξ' ἥρως· ἀλλ' ἄγε τῶν
δέ τοι ἔμπαν αἵρεσιν
παρδίδωμι· εἰ μὲν θάνατόν τε φυγὼν, καὶ
γῆρας ἀπεχθόμενον
αὐτὸς οὔλυμπον θέλεις
σύν τ' ἀθαναίᾳ κελαινεγχεῖ τ' ἄρει.
ἐπ. ἔστι σοι τούτων λάχος.
εἰ δὲ κασιγνήτου πέρι
μάρνασαι πάντων δὲ νοεῖς
ἀποδάσασθαι ἴσον
ἥμισυ μέν κε πνέοις γαί-
ας ὑπένερθεν ἐών.
ἥμισυ δ' οὐρανοῦ ἐν χρυσέοις δόμοισιν.
ὣς ἄρ' αὐδήσαντος οὐ
γνώμᾳ διπλόαν θέτο βουλάν,
ἀνὰ δ' ἔλυσε μὲν ὀφθαλ-
μὸν, ἔπειτα δὲ φωνὰν
χαλκεομίτρα κάστορος.

Ἀρισταγόρᾳ πρυτάνει τενεδίῳ.
υἱῷ ἀρκεσίλα.
μέλος ιά.

Στροφή.

Π αῖ ῥέας ἅ τε πρυτανεῖα λέλογχας ἑστία
Ζηνὸς

ζηνὸς ὑψίστου κασιγνήτα
καὶ ὁμοθρόνου ἥρασ
εὖ μὲν ἀρισταγόραν δέξαι τεὸν ἐς θάλαμον.
εὖ δ' ἑταίρους ἀγλαῷ σκάπτῳ πέλασ,
οἵ σε γεραίροντες ὀρ-
θὰν φυλάσσοισιν τένεδον,
ἀντ. πολλὰ μὲν λοιβαῖσιν ἀγαζόμενοι πρώταν
πολλὰ δὲ κνίσσα. λύρα δέ σφιν (θεῶν
βρέμεται καὶ ἀοιδά.
καὶ ξενίου διὸς ἀσκεῖται θέμις ἀενάοισ
ἐν τραπέζαισ, ἀλλὰ σὺν δόξᾳ τέλος
δυωδεκάμηνον περά-
σαι σὺν ἀτρώτῳ κραδίᾳ.
ἐπ. ἄνδρα δ' ἐγὼ μακαρίζω
μὲν πατέρ' ἀρκεσίλαν
καὶ τὸ θαητὸν δέμας ἀτρεμίαν τε σύγγονον
εἰ δέ τις ὄλβον ἔχων,
μορφᾷ παραμεύσεται ἄλλων
ἔν τ' ἀέθλοισιν ἀρι-
στεύων ἐπέδειξεν βίαν,
θνατὰ μεμνάσθω περιστέλλων μέλη
καὶ τελευτὰν ἁπάντων γᾶν ἐπιεσσόμενος.
στ. β. ἐν λόγοις δ' ἀστῶν ἀγαθοῖσι μιν αἰνεῖσθαι χρε
καὶ μελιγδούποισι δαιδαλθέν- (ὼν
τα μελιζέμεν ἀοιδαῖς.
ἐκ δὲ περικτιόνων ἑκκαίδεκ' ἀρισταγόραν.

ἀλλὰ νίκαι πάτραν τ' εὐώνυμον
ἐστεφάνωσαν πάλᾳ
καὶ μεγαλαυχεῖ παγκρατίῳ.
ἀντ. ἐλπίδες δ' ὀκνηρότεραι γονέων

ναὶ μὰ τὸν ὅρκον ἐμὰν δόξαν παρὰ Κασταλίᾳ,
καὶ παρ' εὐδένδρῳ μολὼν ὄχθῳ Κρόνου
κάλλιον ἂν δηειών-
των ἐνεστήσαντ' ἂν τι πάλων
πενταετηρίδ' ἑορτὰν
ἐπῳ. Ἡρακλέος τέθμιον
κωμάσαις ἀνδησάμενός τε κόμαν ἐν
πορφυρέοις ἔρνεσιν, ἀλλὰ βροτῶν
τὸν μὲν, κενόφρονες αὖχαι
ἐξ ἀγαθῶν ἔβαλον
τὸν δ' αὖ καταμεμφθέντ' ἄγαν
ἰσχὺν οἰκείων παρέσφαλεν καλῶν
χειρὸς ἕλκων ὀπίσω θυμὸς ἄτολμος ἐών.
στρ. γ. συμβαλεῖν λίαν εὐμαρὲς ἦν τότε Πεισάν
πάλαι αἷμ' ἀπὸ Σπάρτας ἀμύκλαθεν (δρου
γὰρ ἔβα σὺν Ὀρέστᾳ
Αἰολέων στρατιὰν χαλκεντέων δεῦρ' ἀνάγων
καὶ παρ' Ἰσμηνοῦ ῥοὰν κεκραμένον
ἐκ Μελανίπποιο μά-
τρωος· ἀρχαῖαι δ' ἀρεταὶ
ἀντ. ἀμφέροντ' ἀλλασσόμεναι γενεαῖς ἀνδρῶν σθένος

ἐν χρόνῳ δ' οὔτ' ὦν μέλαιναι καρ-
πὸν ἔδωκαν ἄρουραι
δένδρεά τ' οὐκ ἐθέλει πάσαις ἐτέων περιό
ἄνθος εὐῶδες φορέειν πλούτῳ ἴσον (δοις
ἀλλ' ἐν ἀμείβοντι, καὶ
θνατὸν οὕτω σθένος ἄγει,
μοῖρα· τὸ δ' ἐκ διὸς ἀνθρώ-
ποις σαφὲς οὐχ ἕπεται τέκμαρ
ἀλλ' ἔμπαν μεγαλανορίᾳ ἐμβαίνομεν
ἔργα τε πολλὰ μενοινῶντες
δέδεται γὰρ ἀναιδεῖ
ἐλπίδι γυῖα, προμα-
θείας δ' ἀπόκεινται ῥοαί.
κερδέων δὲ χρὴ μέτρον θηρευέμεν.
ἀπροσίκτων δ' ἐρώτων ὀξύτεραι μανίαι.

ΗΡΟΔΟΤΩι ΘΗΒΑΙΩι.
ΜΕΛΟΣ α'.

Στροφή.

ἄτερ ἐμά· τὸ τεὸν χρύσα-
μ ασπις θήβα
πρᾶγμα καὶ ἀσχολίασ
ὑπέρτερον
θάσομαι. μή μοι κραναὰ νεμεσάσαι
δᾶλος ἐν ᾇ κέχυμαι τί φίλτερον
κεδνῶν τοκήων ἀγαθοῖς
εἶξον ὦ 'πολλωνιὰς ἀμφοτέροις τῶν χαρίτων
σὺν θεοῖς ζεύξω τέλος,
ἀντ. καὶ τὸν ἀκειρεκόμαν φοῖβον χορεύων
ἐν κέῳ ἀμφιρύτῳ σὺν ποντίοισ
ἀνδράσιν· καὶ τὰν ἁλιερκέα ἰσθμοῦ
δειράδ' ἐπεὶ στεφάνους ἓξ ὤπασε
κάδμου στρατῷ ἐξ ἀέθλων·
καλλίνικον πατρίδι κῦδος ἐν ᾇ καὶ τὸν ἀδεί-
μαντον ἀλκμήνα τέκε
ἐπ. παῖδα θρασεῖαι τόν ποτε γηρυόνα
φρίξαν κύνες
ἀλλ' ἐγὼ ἡροδότῳ τεύχων
τὸ μὲν, ἅρματι τεθρίππῳ γέρασ

ἀντία τ' ἀλλοτρίαις οὐ
χερσὶν νωμάσαντ' ἐθέλω
ἢ καστορείῳ, ἢ ἰολάου ἐναρ-
μόξαι μιν ὕμνῳ.
κεῖνοι γὰρ ἡρώων διφρη-
λάται λακεδαίμονι καὶ θή-
βαις ἐτέκνωθεν κράτιστοι
στ. β. ἔν τ' ἀέθλοισι θίγον πλείστων ἀγώνων.
καὶ τριπόδεσσιν ἐκόσμησαν δόμον,
καὶ λεβήτεσσι, φιάλαισί τε χρυσοῦ,
σεβόμενοι στεφάνων νικαφόρων
λάμπει δὲ σαφὴς ἀρετὰ
ἔν τε γυμνοῖσι σταδίοις σφίσιν ἔν τ' ἀ-
σπίδοισι ὁπλίταις δρόμοις
ἀντ. οἷς τε χερσὶν ἀκοντίζοντες αἰχμαῖς
καὶ λιθίνοις ὁπότε δίσκοισιν ἵεν
οὐ γὰρ ἦν πένταθλον ἀλλ' ἐφ' ἑκάστῳ
ἔρματι κεῖτο τέλος, τῶν ἀθρόους
ἀνδησάμενοι θαμάκις
ἔρνεσι χαίτας ῥεέθροισί τε δίρκας ἔφανε
καὶ παρ' εὐρώτᾳ πέλας
ἐπ. ἰφικλέος μὲν παῖς ὁμόδαμος ἐὼν
σπαρτῶν γένει
τυνδαρίδας δ' ἐν ἀχαιοῖς ὑ-
ψίπεδον θεράπνας οἰκέων ἕδος
χαίρετ'. ἐγὼ δὲ ποσειδά-

ωνι, ἰσθμῷ τε ζαθέα
ὀγχηστίαισίν τ' ἀϊόνεσσι περι
στέλλων ἀοιδὰν
γαρύσομαι τοῦ δ' ἀνδρὸς ἐν
τιμαῖσιν ἀγακλέα τὰν
ἀσωποδώρου πατρὸς αἶσαν.
στρ. γ. ὀρχομενοῖό τε πατρῴαν ἄρουραν,
ἅ νιν ἐρειδόμενον ναυαγίαις
ἐξ ἀμετρήτας ἁλὸς ἐν κρυοέσσᾳ
δέξατο συντυχία, νῦν δ' αὖτις ἀρ-
χαίας ἐπέβασε πότμος·
συγγενὴς εὐαμερίας. ὁ πονήσαις δὲ νόῳ
καὶ προμάθειαν φέρει,
ἀντ. εἰ δ' ἀρετᾷ κατάκειται πᾶσαν ὀργὰν,
ἀμφότερον δαπάναις τε, καὶ πόνοις
χρή νιν εὑρόντεσσιν ἀγάνορα κόμπον
μὴ φθονεραῖσι φέρειν γνώμαις ἐπεὶ
κούφα δόσις ἀνδρὶ σοφῷ
ἀντὶ μόχθων παντοδαπῶν ἔπος εἰπόντ'
ξυνὸν ὀρθῶσαι καλόν. (ἀγαθὸν
ἐπ. μισθὸς γὰρ ἄλλος ἄλλοις ἐφ' ἄρμασιν ἀν-
θρώποισι γλυκὺς
μηλοβότατ', ἀρότατ', ὀρνι-
χολόχῳ τε, καὶ ὃν πόντος τρέφει.
γαστρὶ δὲ πᾶς τις ἀμύνων
λιμὸν αἰανῆ τέταται.

ὃς δ' ἀμφ' ἀέθλοις ἢ πολεμίζων ἄρη-
ται κῦδος ἁβρὸν
εὐαγορηθεὶς κέρδος ὕ-
ψιστον δέχεται πολια-
τᾶν καὶ ξένων γλώσσης ἄωτον
ςρ. δ. ἄμμι δ' ἔοικε κρόνου σεισίχθον' υἱὸν
γείτον' ἀμειβομένους εὐεργέταν
ἁρμάτων ἱπποδρόμιον κελαδῆσαι
καὶ σέθεν ἀμφιτρύων παῖδας προσει-
πεῖν τὸν μινύα τε μυχὸν,
καὶ τὸ δάματρος κλυτὸν ἄλσος ἐλευσῖνα καὶ εὔ-
βοιαν ἐν γναμπτοῖσι δρόμοις
ἀντ. πρωτεσίλα τὸ τεὸν δ' ἀνδρῶν ἀχαιῶν
ἐν φυλάκᾳ τέμενος συμβάλλομαι
πάντα δ' ἐξειπεῖν ὅσ' ἀγώνιος ἑρμᾶς
ἡροδότῳ πόρεν ἵπποισιν ἀφαιρεῖται
βραχὺ μέτρον ἔχων
ὕμνος ἦ μὰν πολλάκι καὶ τὸ σεσωπαμένον
εὐθυμίαν μείζω φέρει
ἐπ. εἴη μιν εὐφώνων πτερύγεσσιν ἀερ-
θέντ' ἀγλααῖσι
πιερίδων ἔτι καὶ πυθῶθεν
ὀλυμπιάδων τ' ἐξαιρέτοις
ἀλφεοῦ ἔρνεσι φράξαι,
χεῖρα τιμὰν ἑπταπύλοις
θήβαισι τεύχοντ'. εἰ δέ τις ἔνδον νέμει

πλοῦτον κρυφαῖον
ἄλλοισι δ' ἐμπίπτων γελᾷ
ψυχὰν ἀΐδᾳ τελέων
οὐ φράζεται δόξας ἄνευθεν.

ΞΕΝΟΚΡΑΤΕΙ ΑΚΡΑΓΑΝΤΙΝΩι. ΜΕΛΟΣ β'.

στροφή.

ἱ μὲν πάλαι ὦ θρασύβουλε
φῶτες ὅσοι χρυσαμπύκων
ἐς δίφρον μοισᾶν ἔβαινον
κλυτᾷ φόρμιγγι συναντόμενοι
ίμφα παιδείους ἐτόξευ-
ον μελιγαρύας ὕμνους·
ὅς τις ἐὼν καλὸς εἶχεν ἀφροδίτας
εὐθρόνου μνάστειραν ἁδίσταν ὀπώραν.
ἀντ. ἁ μοῖσα γὰρ οὐ φιλοκερδής·
πω τότ' ἦν οὐδ' ἐργάτις
οὐδ' ἐπέρναντο γλυκεῖ-
αι μελίφθογγοι ποτὶ τερψιχόρας·
ἀργυρωθεῖσαι πρόσωπα.
μαλθακόφωνοι ἀοιδαί.
νῦν δ' ἐφίητι τ' ὠργείου φυλάξαι
ῥῆμ' ἀληθείας ἄγχιστα βαῖνον·
ἐπ. χρήματα χρήματ' ἀνὴρ

ὃς φᾶ κτεάνων θ' ἅμα λειφθεὶς, καὶ φίλων,
ἐσσὶ γὰρ ὢν σοφὸς, οὐκ ἄγνωτ' ἀείδω.
ἰσθμίοις ἵπποισι νίκαν
τὰν ξενοκράτει ποσειδάων ὀπάσαις.
δωρίων αὐτῷ στεφάνωμα κόμα
πέμπεν ἀνδεῖσθαι σελίνων.
στρ. β. εὐάρματον ἄνδρα γεραίρων,
ἀκραγαντίνων φάος.
ἐν κρίσα δ' εὐρυσθενὴς
εἶδ' ἀπόλλων μιν πόρεν τ' ἀγλαΐαν,
καὶ τὸ θι κλειναῖς ἐρεχθει-
δᾶν χαρίτεσσιν ἀραρὼς
ταῖς λιπαραῖς ἐν ἀθάναις οὐκ ἐμέμφθη
ῥυσίδιφρον χεῖρα πλαξίπποιο φωτός.
ἀντ. τὰν νικόμαχος κατὰ καιρὸν
νωμᾶ πάσαις ἀνίαις
ὅν τε, καὶ κάρυκες ὡρᾶν
ἀνέγνων σπονδοφόροι κρονίδα
ζηνὸς ἀλεῖοι παθόντες
πού τι φιλόξενον ἔργον
ἁδυπνόῳ τέ νιν ἀσπάζοντο φωνᾷ
χρυσέοις τ' ἐν γούνασι πιτνῶντο νίκας
ἐπ. γαῖαν ἀνὰ σφετέραν
τὰν δὴ καλέοισιν ὀλυμπίου διὸς
ἄλσος ἵν' ἀθανάτοις αἰνησιδάμου
παῖδες ἐν τιμαῖς ἔμιχθεν

καὶ γὰρ οὐκ ἀγνῶτες ὑμῖν ἐντὶ δόμοι,
οὔτε κώμων ὦ θρασύβουλ' ἐρατῶν
οὔτε μελικόμπων ἀοιδᾶν.
στρ. γ. οὐ γὰρ πάγος οὐδὲ προσάντης
ἀκέλευθος γίνεται.
εἴ τις εὐδόξων ἐς ἀνδρῶν
ἄγοι τιμὰς ἑλικωνιάδων.
μακρὰ δισκήσαις ἀκοντίσ-
σαιμι τοσοῦθ' ὅσον ὀργὰν
ξεινοκράτης ὑπὲρ ἀνθρώπων γλυκεῖαν
ἔσχεν, αἰδοῖος μὲν ἦν ἀστοῖς ὁμιλεῖν,
ἀντ. ἱπποτροφίας τε νομίζων
ἐν πανελλάνων νόμῳ
καὶ θεῶν δαῖτας προσέπτυ-
κτο πάσας· οὐδέ ποτε ξενίαις
οὖρος ἐμπνεύσαις· ὑπέστει-
λεν ἱστίον ἀμφὶ τράπεζαν,
ἀλλ' ἐπέρα ποτὶ μὲν φᾶσιν θερείαις
ἐν δὲ χειμῶνι πλέων νείλου πρὸς ἀκτάν.
ἐπ. μήνυν ὅτι φθονεραὶ
θνατῶν φρένας ἀμφικρέμανται ἐλπίδες.
μήτ' ἀρετάν ποτε σιγάτω πατρῴαν.
μηδὲ τοὺς δ' ὕμνους. ἐπεί τοι
οὐκ ἐλινύσοντας αὐτοὺς εἰργασάμην,
ταῦτα νικάσιππ' ἀπόνειμον ὅταν
ξεῖνον ἐμὸν ἠθαῖον ἔλθῃς.

ΜΕΛΙΣΣΩι ΘΗΒΑΙΩι.

ΜΕΛΟΣ Γ.

Στροφή.

» εἴ τις ἀνδρῶν εὐτυχήσαις,
» ἢ σὺν εὐδόξοις ἀέθλοις,
» ἢ σθένει πλούτου, κατέχει
» φρασὶν αἰανῆ κόρον
» ἄξιος εὐλογίαις ἀστῶν μεμίχθαι,
» ζεῦ, μεγάλαι δ' ἀρεταὶ θνατοῖς ἕπονται
» ἐκσέθεν· ζώει δὲ μάσσων
» ὄλβος ὀπιζομένων πλαγίαις
» δὲ φρένεσσιν οὐχ ὁμῶς πάν-
» τα χρόνον θάλλων ὁμιλεῖ·

» ἀντ. εὐκλεῶν δ' ἔργων ἄποινα·
» χρὴ μὲν ὑμνῆσαι τὸν ἐσλόν,
» χρὴ δὲ κωμάζοντ' ἀγανναῖς
» χαρίτεσσι βαστάσαι·
ἔστι δὲ καὶ διδύμων ἀέθλων μελίσσῳ
μοῖρα πρὸς εὐφροσύναν τρέψαι γλυκεῖαν
ἦτορ ἐν βάσσαισιν ἰσθμοῦ
δεξαμένῳ στεφάνους. τὰ δὲ, κοί-
λα λέοντος ἐν βαθυστέρ-
νου νάπα κάρυξε θήβαν·

ἐπ. ἱπποδρομία κρατέων,
ἀνδρῶν δ' ἀρετὰν

σύμφυτον οὐ κατελέγχει
ἴστε μὰν κλεωνύμου
δόξαν παλαιὰν ἅρμασι
καὶ μαζόθεν λαβδακίδαισι
σὺν νόμοι πλούτου διέστι-
χον τετραορίαις πόνοις.
αἰὼν δὲ κυλινδομέναισ
ἁμέραις ἄλλ' ἄλλοτ' ἐ-
ξάλλαξεν, ἄτρωτοί γε μὰν παῖδες θεῶν.
στ. β. ἔστι μοι θεῶν ἕκατι
μυρία παντᾷ κέλευθος.
ὦ μέλισσ' εὐμαχανίαν
γὰρ ἔφανας ἀρετάς.
εὐφροσύναισι κλυταῖς ὕμνων διώκειν.
αἷσι κλεωνυμίδαι θάλλοντες αἰὰ
σὺν θεῷ θνατὸν διέρχον-
ται βίου τέλος. ἄλλοτε δ' ἀλ-
λοῖος οὖρος πάντας ἀνθρώ-
πους ἐπαΐσσων ἐλαύνει.
ἀντ. τοὶ μὲν ὦν θήβαισι τιμά-
εντες ἀρχᾶθεν λέγονται
πρόξενοί τ' ἀμφικτυόνων.
κελαδεννᾶς τ' ὀρφανοὶ
ὕβριος. ὅσσα δ' ἐπ' ἀνθρώπους ἄηται.
μαρτύρια φθιμένων ζωῶν τε φωτῶν
ἀπλέτου δόξας ἀπέψαυ-

σαν κατὰ πᾶν τέλος ἀνορέαις
δ' ἐσχάταισιν οἴκοθεν στά-
λαισιν ἅπτονθ' ἡρακλείαις,
ἐπ. καὶ μηκέτι μακροτέραν
σπεύδειν ἀρετὰν
ἱπποτρόφοι τ' ἐγένοντο,
χαλκέῳ ἄρει ἅδον,
ἀλλ' ἁμέρᾳ γὰρ ἐν μιᾷ
τραχεῖα νιφὰς πολέμοιο
τεσσάρων ἀνδρῶν ἐρήμω-
σε μάκαιραν ἑστίαν·
νῦν δ' αὖ μετὰ χειμέριον
ποικίλων μηνῶν ζόφον
χθὼν ὥτε φοινικίοισιν ἄνθος ῥόδοις
ϛρ. γ. δαιμόνων βουλαῖς ὁ κινη-
τὴρ δὲ γᾶς ὀγχηστὸν οἰκέων.
καὶ γέφυραν ποντιάδα.
πρὸ κορίνθου τειχέων,
τὸν δὲ πορὼν γενεᾷ θαυμαστὸν ὕμνον
ἐκ λεχέων ἀνάγει φάμαν παλαιὰν
εὐκλεῶν ἔργων ἐν ὕπνῳ
γὰρ πέσεν ἀλλ' ἀνεγειρομένα
χρῶτα λάμπει ἀωσφόρος θα-
ητὸς ὡς ἄστροις ἐν ἄλλοις
ἀντ. ἅ τε κἀν γουνοῖς ἀθηναῖν
ἅρμα καρύξασα νικᾶν

ἐν τ' ἀδραστείοις ἀέθλοις
σικυῶνος ὤπασε.
τοιάδε τῶν τότ' ἐόντων φύλλ' ἀοιδᾶν
οὐδὲ παναγυρίων ξυνᾶν ἀπεῖχον
καμπύλον δίφρον· πανελλά-
νεσσι δ' ἐριζόμενοι δαπάνᾳ
χαῖρον ἵππων τῶν ἀπειρά-
των γὰρ ἄγνωστοι σιωπαὶ
ἐπ. ἔστιν δ' ἀφάνεια τύχας.
καὶ μαρναμένων
πρὶν τέλος ἄκρον ἱκέσθαι
τῶν τε γὰρ καὶ τῶν διδοῖ τέλος
καὶ κρέσσον' ἀνδρῶν χειρόνων
ἔσφαλε τέχνα καταμάρψαι-
σ'. ἴστε μὰν αἴαντος ἀλκὰν
φοίνιον, τὰν ὀψίᾳ
ἐν νυκτὶ ταμὼν περὶ ᾧ
φασγάνῳ μομφὰν ἔχει
παίδεσσιν ἑλλάνων ὅσοι τρῴανδ' ἔβαν
ςρ. δ. ἀλλ' ὅμηρος τετίμα-
κε δι' ἀνθρώπων ὃς αὐτοῦ
πᾶσαν ὀρθώσαις ἀρετὰν
κατὰ ῥάβδον ἔφρασεν.
θεσπεσίων ἐπέων λοιποῖς ἀθύρειν.
τοῦτο γὰρ ἀθάνατον φωνᾶεν ἕρπει.
εἴ τις εὖ εἴπῃ τι καὶ πάγ-

καρπον ὑπὲρ χθόνα καὶ διαπόν-
τον βέβακεν ἐργμάτων ἀ-
κτὶς καλῶν ἄσβεστος αἰεί,
ἀντ. προφρόνων μοισᾶν τύχοιμεν
κεῖνον ἅψαι πυρσὸν ὕμνων
καὶ μελίσσῳ παγκρατίου
στεφάνωμ᾽ ἐπάξιον.
ἔρνεϊ τελεσιάδα. τόλμα γὰρ εἰκὼς
θυμὸν ἐριβρεμετᾶν θηρῶν λεόντων.
ἐν πόνῳ· μῆτιν δ᾽ ἀλώπηξ.
αἰετοῦ ἅ τ᾽ ἀναπιτναμένα
ῥόμβον ἴσχει. χρὴ δὲ πᾶν ἔρ-
δοντ᾽. ἀμαυρῶσαι τὸν ἐχθρόν
ἐπ. οὐ γὰρ φύσιν ὠαρι ὠ-
νείαν ἔλαχεν,
ἀλλ᾽ ὀνοτὸς μὲν ἰδέσθαι.
συμπεσεῖν δ᾽ αἰχμᾷ βαρύς
καίτοι ποτ᾽ ἀνταίου δόμους
θηβᾶν ἄπο καδμειᾶν μορ-
φὰν βραχύς, ψυχὰν δ᾽ ἄκαμπτος
προσπαλαίσων ἦλθ᾽ ἀνὴρ
τὰν πυροφόρον λιβύαν
κρανίοις ὄφρα ξένων
ναὸν ποσειδάονος ἐρέφοντα σχέθοι.
στρ. ε. υἱὸς ἀλκμήνας ὃς ὄλυμ-
πόνδ᾽ ἔβα. γαίας τε πάσας.

καὶ βαθυκρήμνου πολιᾶς
ἁλὸς ἐξευρὼν θέναρ·
ναυτιλίαισί τε πορθμὸν ἁμερώσαις.
νῦν δὲ παρ' αἰγιόχῳ κάλλιστον ὄλβον
ἀμφέπων ναίει τε, τιμα-
ταί τε πρὸς ἀθανάτων φίλος ἥ-
βαν τ' ὀπυίει. χρυσέων οἴ-
κων ἄναξ. καὶ γαμβρὸς ἥρας.
ἀντ. τῷ μὲν ἀλεκτρᾶν ὕπερθεν,
δαῖτα πορσυνόντες ἀστοί-
καὶ νεόδματα στεφανώ-
ματα βωμῶν αὔξομεν·
ἔμπυρα χαλκοαρᾶν ὀκτὼ θανόντων,
τοὺς μεγάρα οἱ τέκε κρεοντὶς υἱούς.
τοῖσιν ἐν δυσμαῖσιν αὐγᾶν
φλὸξ τις ἀντελλομένα συνεχὲς
παννυχίζει αἰθέρα κνι-
σάεν τι λακτίζουσα καπνῷ
καὶ δεύτερον ἆμαρ ἐτεί-
ων ἀέθλων τέρμα·
γίνεται ἰσχύος ἔργον.
ἔνθα λευκωθεὶς κάρα·
μύρτοις ὅδ' ἀνὴρ διπλόαν
νίκαν ἀνεφάνατο παίδων.
τὰν τρίταν πρόσθεν κυβερνα-
τῆρος οἰακοστρόφου,

γνώμᾳ

γνώμα πεπιθὼν πολυβού-
λῳ, σὺν ὀρσία δέ νιν
κωμάζομαι τέρπναν ἐπιστάζων χάριν.

ΦΥΛΑΚΙΔΑ, ΑΙΓΙΝΗΤΗ, ΠΑΓΚΡΑΤΙΩι.
ΜΕΛΟΣ δ.

Στροφή.

ᾶτερ ἀελίου πολυώνυμε θεία·
μ σέο γ᾽ ἕκατι, καὶ μεγασθενῆ νόμισαν
χρυσὸν ἄνθρωποι περιώσιον ἄλλων
καὶ γὰρ ἐριζόμεναι
νᾶες ἐν πόντῳ, καὶ ἐν ἅρμασιν ἵπποι
διὰ τεὰν ὤνασσα τιμὰν
ὠκυδινάτοις ἐν ἁμίλ-
λαισι θαυμασταὶ πέλονται
ἀντ. ἔν τ᾽ ἀγωνίοις ἀέθλοισι ποθεινὸν
κλέος ἔπραξεν ὅν τιν᾽ ἀθρόοι στέφανοι
χερσὶ νικάσαντ᾽ ἀνέδησαν ἔθειραν·
ἢ ταχυτᾶτι ποδῶν
κρίνεται δ᾽ ἀλκὰ διὰ δαίμονας ἀνδρῶν
δύο δέ τοι ζωᾶς ἄωτον
μοῦνα ποιμαίνοντι τὸν ἄλ-
πνιστον εὐανθεῖ σὺν ὄλβῳ
ἐπ. εἴ τις εὖ πάσχων λόγον ἐσλὸν ἀκούσῃ

μὴ μάτευε ζεὺς γενέσθαι, πάντ' ἔχεις·
εἴ σε τούτων μοῖρ' ἐφίκοιτο καλῶν
θνατὰ θνατοῖσι πρέπει·
τὶν δ' ἐν ἰσθμῷ διπλόα θάλλοισ' ἀρετὰ
φυλακίδα κεῖται. νεμέᾳ δὲ καὶ ἀμφοῖν
πυθέᾳ τε παγκρατίου. τὸ δ' ἐμὸν
οὐκ ἄτερ αἰακιδᾶν
κέαρ ὕμνων γεύεται.
σὺν χάρισιν δ' ἔμολον
στ. β. λάμπωνος υἱοῖς,
τάν δ' ἐς εὔνομον πόλιν. εἰ δὲ τέτραπται
θεοδότων ἔργων κέλευθον ἂν καθαρὰν
μὴ φθόνει κόμπον τὸν ἐοικότ' ἀοιδᾷ
κιρνάμεν ἀντὶ πόνων·
καὶ γὰρ ἡρώων ἀγαθοὶ πολεμισταὶ,
λόγον ἐκέρδανον. κλέονται
δ' ἔν τε φορμίγγεσιν ἐν αὐ-
λῶν τε παμφώνοις ὁμοκλαῖς
ἀντ. μυρίον χρόνον, μελέταν δὲ σοφισταῖς
διὸς ἕκατι πρόσβαλλον σεβιζόμενοι.
ἐν μὲν αἰτωλῶν θυσίαισι φαενναῖς
οἰνεΐδαι κρατεροί·
ἐν δὲ θήβαις ἱπποσόας ἰόλαος·
γέρας ἔχει· περσεὺς δ' ἐν ἄργει
κάστορος δ' αἰχμὰ πολυδεύ-
κεός τ' ἐπ' εὐρώτα ῥεέθροις

ἐπ. ἀλλ' ἐν οἰνώνᾳ μεγαλήτορες ὀργαὶ
αἰακοῦ παίδων τε, τοὶ καὶ σὺν μάχαις
δὶς πόλιν τρώων πράθον. ἑσπόμενοι
ἡρακλῆϊ πρότερον,
καὶ σὺν ἀτρείδαις. ἔλα νῦν μοι πεδόθεν,
λέγε, τίνες κύκνον, τίνες ἕκτορα πέφνον,
καὶ στράταρχον αἰθιόπων ἄφοβον,
μέμνονα χαλκοάραν,
τίς γ' ἐσλὸν τήλεφον
τρῶσεν ἑῷ δορὶ κα-
ΐκου παρ' ὄχθαις.

στρ. γ. τοῖσιν αἴγιναν προφόρει στόμα πάτραν.
διαπρεπέα νᾶσον. τετείχισται δὲ πάλαι
πύργος ὑψηλαῖς ἀρεταῖς ἀναβαίνειν.
πολλὰ μὲν ἀρτιεπὴς
γλῶσσα μοι τοξεύματ' ἔχει περὶ κείνων
κελαδῆσαι. καὶ νῦν ἐν ἄρει
μαρτυρῆσαι κεν πόλις αἴ-
αντος ὀρθωθεῖσα ναύταις

ἀντ. ἐν πολυφθόρῳ σαλαμὶς διὸς ὄμβρῳ
ἀναρίθμων ἀνδρῶν χαλαζάεντι φόνῳ.
ἀλλ' ὅμως καύχημα κατέβραχε σιγᾷ.
ζεὺς τάδε, καὶ τάδε νέμει.
ζεὺς ὁ πάντων κύριος, ἐν δ' ἐρατεινῷ
μέλιτι καὶ τοιαίδε τιμαὶ
καλλίνικον χάρμ' ἀγαπά-

ζοντι. μαρνάσθω τις ἔρδων,
ἐπ. ἀμφ' ἀέθλοισιν γενεὰν κλεονίκου
ἐκμαθών. οὔτοι τετύφλωται μακρὸς
μόχθος ἀνδρῶν. οὐδ' ὁπόσαι δαπάναι
ἐλπίδων ἔκνιξ' ὄπιν.
αἰνέω καὶ πυθέαν ἐγγυιοδάμαις
φυλακίδᾳ πλαγᾶν δρόμον εὐθυπορῆσαι
χερσὶ δεξιὸν νόῳ ἀντίπαλον,
λάμβανέ οἱ στέφανον
φέρε δ' εὔμαλλον μίτραν,
καὶ πτερόεντα νόῳ
σύμπεμψον ὕμνον.

ΦΙΛΑΚΙΔΑ, ΠΥθέᾳ εὐθυμένει
μάζωι.

ΜΕΛΟΣ. έ

Στροφή.

ἄλλοντος ἀνδρῶν ὡς ὅτε συμποσίου
θ δεύτερον κρατῆρα μοισέων μελέων
κίρναμεν λάμπωνος εὐά-
θλου γενεᾶς ὕπερ, ἐν νεμέᾳ
μὲν πρῶτον ὦ ζεῦ τὶν ἄωτον
δεξάμενοι στεφάνων
νῦν αὖτ' ἐν ἰσθμοῦ δεσπότᾳ
νηρεΐδεσί τε πεντή-

κοντα παίδων ὁπλοτάτου
φυλακίδα νικῶντος. εἴη δὲ τρίτον
σωτῆρι προσαίνοντας ὀλυμ-
πίῳ αἴγιναν κατα-
σπένδειν μελιφθόγγοις ἀοιδαῖς.
ἀντ. εἰ γάρ τις ἀνθρώπων δαπάνᾳ τε χαρεὶς
καὶ πόνῳ πράσσει θεοδμάτους ἀρετὰς
σύν τέ οἱ δαίμων φυτεύει
δόξαν ἐπήρατον ἐσχατιαῖς
ἤδη πρὸς ὄλβου βάλλετ' ἄγκυ-
ραν. θεότιμος ἐὼν
τοίαισιν ὀργαῖς εὔχεται.
ἀντιάσαις. ἀΐδαν γῆ-
ρας τε δέξασθαι πολιὸν,
ὁ κλεονίκου παῖς. ἐγὼ δ' ὑψίθρονον
κλωθὼ κασιγνήτας τε προσεν-
νέπω σπέσθαι κλυταῖσιν
ἀνδρὸς φίλου μοίρας ἐφετμαῖς
ἐπ. ὔμμε τ' ὦ χρυσάρματοι αἰακίδαι.
τέθμιόν μοι φαμὶ σαφέστατον εἶναι
τάνδ' ἐπιστείχοντα νᾶσον
ῥαινέμεν εὐλογίαις
μυρίαι δ' ἔργων καλῶν
τέτμηνθ' ἑκατόμπεδοι ἐν σχερῷ κέλευθοι
καὶ πέραν νείλοιο παγᾶν
καὶ δι' ὑπερβορέους. οὐδ' ἔστιν οὕτω

βρόχος, οὔτε παλίγγλωσσος πόλις·
ἅ τις οὐ πηλέος ἀΐει κλέος
ἥρωος εὐδαίμονος γαμβροῦ θεῶν.
στρ. β· οὐδ' ἅ τις αἴαντος τελαμωνιάδα
καὶ πατρὸς τὸν χαλκοχάρμαν ἐς πόλεμον
ἄγε σὺν τυρινθίοισι
πρόφρονα σύμμαχον ἐς τροΐαν ἥ-
ρωσιν μόχθον λαομεδοντί-
αν ὑπὲρ ἀμπλακίαν
ἐν ναυσὶν ἀλκμήνας τέκος.
εἷλεν δὲ περγαμίαν πέ-
φνεν δὲ σὺν κείνῳ μερόπων
τ' ἔθνεα. καὶ τὸν βουβόταν οὔρεϊ ἶσον,
φλέγραισιν εὑρὼν ἀλκυονῆ
σφετέρας δ' οὐ φείσατο
χερσὶν βαρυφθόγγοιο νευρᾶς
ἀντ. ἡρακλέης· ἀλλ' αἰακίδαν καλέων
ἐς πλόον κύρησε πάντων δαινυμένων
τὸν μὲν, ἐν ῥινῷ λέοντος
στάντα κελήσαντο νεκταρέαις
σπονδαῖσιν ἄρξαι καρτεραίχμαν
ἀμφιτρυωνιάδαν.
ἄνδωκε δ' αὐτῷ φέρτατος
οἰνοδόκον φιάλαν χρυ-
σῷ πεφρικυῖαν τελαμών.
ὁ δ' ἀντείνας οὐρανῷ χεῖρας ἀμάχους

αὔδασε τοιοῦτον τ' ἔπος· εἴ-
ποτ' ἐμᾶν ὦ ζεῦ πάτερ
θυμῷ θέλων ἀρᾶν ἄκουσας

ἐπ. νῦν σε νῦν εὐχαῖς ὑπὸ θεσπεσίαις
λίσσομαι παῖδα θρασὺν ἐξ ἐριβοίας
ἀνδρὶ τῷδε ξεῖνον ἀμὸν
μοιρίδιον τελέσαι.
τὸν μὲν, ἄρρηκτον φυὰν
ὥσπερ τὸ δέρμα μίμνοι περιπλανᾶται.
θηρὸς ὃν πάμπρωτον ἀέθλων
κτεῖνά ποτ' ἐν νεμέᾳ. θυμὸς δ' ἑπέσθω.
ταῦτ' ἄρα οἱ φαμένῳ πέμψεν θεὸς
ἀρχὸν οἰωνὸν μέγαν αἰετὸν,
αἱ δεῖα δ' ἔνδον μιν ἔκνιξεν χάρις,

στ. γ. εἶπεν τε φωνήσαις ἅτε μάντις ἀνὴρ
ἔσσεταί τοι παῖς ὃν αἰτεῖς ὦ τελαμών.
καί νιν ὄρνιχος φανέντος
κέκλετ' ἐπώνυμον εὐρυβίαν
αἴαντα λαῶν ἐν πόνοις ἔκ-
παγλον ἐνυαλίου.
ὣς ἄρα εἰπὼν αὐτίκα
ἕζετ'. ἐμοὶ δὲ μακρὸν πά-
σας ἀγήσασθ' ἀρετὰς
φυλακίδᾳ γὰρ ἦλθον μοῖσα ταμίας
πυθέᾳ τε κώμων εὐθυμένει
τε τὸν ἀργείων τρόπον.

ἐρήσεται παῖ κ᾽ ἐν βραχίστοις·
ἀντ. ἄραντο γὰρ νίκας ἀπὸ παγκρατίου
τρεῖς ἀπ᾽ ἰσθμοῦ. τὰς δ᾽ ἀπ᾽ εὐφύλλου νεμέας
ἀγλαοὶ παῖδές τε καὶ μά-
τρωες. ἀνὰ δ᾽ ἄγαγον ἐς φάος οἵ-
αν μοῖραν ὕμνων τὰν ψαλυχία-
δᾶν δὲ πάτραν χαρίτων
ἄρδοντι καλλίστᾳ δρόσῳ.
τόν τε θεμιστίου ὀρθώ-
σαντες οἶκον· τάνδε πόλιν
θεοφιλῆ ναίουσι· λάμπων μελέταν
ἔργοις ὀπάζων ἡσιόδου·
μάλα τιμᾷ τοῦτ᾽ ἔπος,
υἱοῖσί τε φράζων παραινεῖ
ἐπ. ξυνὸν ἄστει κόσμον ἑῷ προσάγων,
καὶ ξένων εὐεργεσίαις ἀγαπᾶται
μέτρα μὲν γνώμᾳ διώκων
μέτρα δὲ καὶ κατέχων.
γλῶσσα δ᾽ οὐκ ἔξω φρενῶν.
φαίης κέ νιν ἄνδρ᾽ ἐν ἀθληταῖσιν ἔμμεν·
ναξίαν πέτραις ἐν ἄλλαις.
χαλκοδάμαντ᾽ ἀκόναν. πίσω σφε δίρκας
ἁγνὸν ὕδωρ τὸ βαθύζωνοι κόραι
χρυσοπέπλου μναμοσύνας ἀνέ-
τειλαν παρ᾽ εὐτύχεσι κάδμου πύλαις.

ΣΤΡΕΨΙΑΔΗι ΘΗΒΑΙΩι ΠΑΓΚΡΑΤΙΩι.

ΜΕΛΟΣ ϛ'.

Στροφή.

τ ίνι τῶν πάρος ὦ μάκαιρα θήβα
καλῶν ἐπιχωρίων μάλιστα θυμὸν τεὸν
εὔφρανας· ἦρα χαλκοκρότου πάρεδρον
δαμάτερος ἁνίκ' εὐρυχαίταν
ἄντειλας διόνυσον, ἢ
χρυσῷ μεσονύκτιον,
νίφοντα δεξαμένα
τὸν φέρτατον θεῶν,

ἀντ. ὁπότ' ἀμφιτρύωνος ἐν θυρέτροις
σταθεὶς ἄλοχον μετῆλθεν ἡρακλείοις γοναῖς
ἢ ὅτ' ἀμφὶ τειρεσίαο πυκναῖς βουλαῖς
ἢ ὅτ' ἀμφιόλαον ἱππόμητιν.
ἢ σπαρτῶν ἀκαμαντολογ-
χᾶν. ἢ ὅτε κρατερᾶς
ἄδραστον ἐξ ἀλαλᾶς
ἄμπεμψας ὀρφανὸν

ἐπ. μυρίων ἑταίρων εἰς ἄργος ἵππιον.
ἢ δωρίδ' ἀποικίαν οὕνεκα ὀρθῷ
ἔστασας ἐπὶ σφυρῷ
λακεδαιμονίων. ἕλον δ' ἀμύκλας
αἰγεῖδαι σέθεν ἔκγονοι,

μαντεύμασι πυθίοις,
ἀλλὰ παλαιὰ γὰρ εὕδει
χάρις. ἀμνάμονες δὲ βροτοὶ
στρ. β. ὅ τι μὴ σοφίας ἄωτον ἄκρον
κλυταῖς ἐπέων ῥοαῖσιν ἐξίκηται ζυγὲν
κώμαζ' ἔπειτ' ἁδυμελεῖ σὺν ὕμνῳ
καὶ στρεψιάδᾳ· φέρει γὰρ ἰσθμοῖ
νίκαν παγκρατίου σθένει
τ' ἔκπαγλος, ἰδεῖν τε μορ-
φάεις· ἄγει τ' ἀρετὰν
οὐκ αἶσχιον φυᾶς.
ἀντ. φλέγεται δ' ἰοπλοκάμοισι μοίσαις
μάτρωΐ θ' ὁμωνύμῳ δέδωκε κοινὸν θάλος
χάλκασπις, ᾧ πότμον μὲν ἄρ' ἔμιξε.
τιμὰ δ' ἀγαθοῖσιν ἀντίκειται.
ἴστω γὰρ σαφὲς ὅστις ἐν
ταύτᾳ νεφέλᾳ χάλα-
ζαν αἵματος πρὸ φίλας
πάτρας ἀμύνεται.
ἐπ. λοιγὸν ἀμύνων ἐναντίῳ στρατῷ,
ἀστῶν γενεᾷ μέγιστον κλέος αὔξων
ζώων τ' ἄπο καὶ θανών.
τὺ δὲ διοδότοιο παῖ μαχατὰν
αἰνέων μελέαγρον, αἰ-
νέων δὲ καὶ ἕκτορα
ἀμφιάραόν τε εὐαν·

θε' ἀπέπνευσας ἁλικίαν,
στ. γ. προμάχων ἀν' ὅμιλον. ἔνθ' ἄριστοι
ἔσχον πολέμοιο νεῖκος ἐσχάτασιν ἐπ' ἐλπίδι
ἔτλαν δὲ πένθος οὐ φατόν. ἀλλὰ νῦν μοι
γαιάοχος εὐδίαν ὄπασεν
ἐκ χειμῶνος ἀείσομαι.
χαίταν στεφάνοισιν ἁρ-
μόζων. ὁ δ' ἀθανάτων
μὴ θρασσέτω φθόνος.
ἀντ. ὅτι τερπνὸν ἐφάμερον διώκων
ἕκαλος ἔπειμι γῆρας ἔς τὸν μόρσιμον,
αἰῶνα. θνάσκομεν γὰρ ὁμῶς ἅπαντες
δαίμων δ' ἄϊσος. τὰ μακρὰ δ' εἴ τις
παπταίνει, βραχὺς ἐξικέ-
σθαι χαλκόπεδον θεῶν
ἕδραν ὅτι πτερόεις
ἔρριψε πάγασος
ἐπ. δεσπόταν ἐλθόντ' ἐς οὐρανοὺς σταθμούς.
ἐλθεῖν μεθ' ὁμάγυριν βελλεροφόνταν
ζηνός. τὸ δὲ πὰρ δίκαν
γλυκὺ πικροτάτα μένει τελευτά.
ἄμμι δ' ὦ χρυσέα κόμα
θάλλων πόρε λοξία.
τεαῖσιν ἁμίλλαισιν εὐαν-
θέα καὶ πυθοῖ στέφανον.

ΚΛΕΑΝΔΡΩι ΑΙΓΙΝΗΤΗι.
ΜΕΛΟΣ ζ.

στροφή.

λεάνδρῳ τις ἁλικία τε λύτρον
κ εὔδοξον ὦ νέοι καμάτων
πατρὸς ἀγλαὸν τελεσάρχου
παρὰ πρόθυμον ἰὼν ἀγειρέτω
κῶμον ἰσθμιάδος τε νίκας
ἄποινα καὶ νεμέα
ἀέθλων ὅτι κράτος
ἐξεῦρε. τῷ καὶ ἐγὼ
καίπερ ἀχνύμενος
θυμὸν αἰτέομαι
χρυσέαν καλέσαι
μοῖσαν ἐκ μεγάλων
δὲ πενθέων λυθέντες
μήτ᾽ ἐν ὀρφανίᾳ πέσωμεν.
στεφάνων μήτε κά-
δεα θεράπευε, παυ-
σάμενοι δ᾽ ἀπρήκτων κακῶν.
γλυκύ τι δαμωσώμεθα.
καὶ μετὰ πόνον. ἐπειδὴ
τὸν ὑπὲρ κεφαλᾶς
τε ταντάλου λίθον παρά τις ἔ-
τρεψεν ἄμμι θεός

ἀντ. ἀτόλματον ἑλλάδι μόχθον, ἀλλ' ἐ-
μοὶ δεῖμα μὲν παροιχομένων
καρτερὰν ἔπαυσε μέριμναν.
τὸ δὲ πρὸ ποδὸς ἄρειον αἰεὶ
χρῆμα πᾶν. δόλιος γὰρ αἰὼν
ἐπ' ἀνδράσι κρέμαται.
ἑλίσσων βιότου πόρον·
ἰατὰ δ' ἐστὶ βροτοῖς
σύν γ' ἐλευθερίᾳ
καὶ τά. χρὴ δ' ἀγαθὰν
ἐλπίδ' ἀνδρὶ μέλειν.
χρὴ δ' ἐν ἑπταπύλοισι
θήβαις τραφέντ'. αἰ-
γίνᾳ χαρίτων ἄωτον
προνέμειν πατρὸς οὕ-
νεκα δίδυμαι γένον-
το θυγατέρες ἀσωπίδων,
ὁπλόταται, ζηνί θ' ἅ-
δον βασιλῆϊ. ὃ, τὰν
μὲν παρὰ καλλιρόῳ
δίρκᾳ φιλαρμάτου πόλιος ᾤ-
κισεν ἁγεμόνα.
στρ. β. σὲ δ' ἐς νᾶσον οἰνοπίαν ἐνεγκὼν
κοιμᾶτο δῖον ἔνθα τέκες.
αἰακὸν βαρυσφαράγῳ πα-
τρὶ κεδνότατον ἐπιχθονίων· ὃ καὶ

δαιμόνεσσι δίκας ἐπείραι-
νε τῶν μὲν, ἀντίθεοι
ἀρίστευον υἱέες,
υἱέων τ' ἀρηΐφιλοι
παῖδες ἀνορέα
χάλκεον στονόεν-
τ' ἀμφέπειν ὅμαδον,
σώφρονές τ' ἐγένοντο
πινυτοί τε θυμόν.
ταῦτα καὶ μακάρων ἐμέμναν-
τ' ἀγοραί ζεὺς ὅτ' ἀμ-
φὶ θέτιος ἀγλαὸς
τ' ἔρισαν ποσειδᾶν γάμῳ
ἄλοχον εὐειδέα θέ-
λων ἑκάτερος ἑὰν
ἔμμεναι. ἔρως γὰρ ἔχεν
ἀλλ' οὔ σφιν ἄμβροτοι τέλεσαν εὐ-
νὰν θεῶν πραπίδες,
ἀντ. ἐπεὶ θεσφάτων ἤκουσαν. εἶ-
πε δ' εὔβουλος ἐν μέσοισι θέμις
εἵνεκεν πεπρωμένον ἦν φέρ-
τερον γόνον ἄνακτα πατρὸς τεκεῖν
ποντίαν θεὸν, ὃς κεραυνοῦ
τε κρέσσον ἄλλο βέλος
διώξει χερὶ τριό-
δοντός τ' ἀμαιμακέτου

δὶ μισγομέναν,
ἢ διὸς παρ' ἀδελ-
φεοῖσιν, ἀλλὰ τὰ μὲν
παύσατε· βροτέων
δὲ λεχέων τυχοῦσα
υἱόν εἰσιδέτω θανόντα ἐν-
πολέμῳ ἄρει
χεῖρας ἐναλίγκιον,
στεροπαῖσί τ' ἀκμὰν ποδῶν.
τὸ μὲν ἐμὸν πηλεῖ θεά-
μοιρον ὀπάσαι γάμου αἰ- ·τίν
ακίδᾳ γέρας, ὅν-
τ' εὐσεβέστατον φάσ' ἰαωλ-
κοῦ τράφειν πεδίον.
στ. γ. ἰόντων δ' ἐς ἄφθιτον ἄντρον εὐθὺς
χείρωνος αὐτίκ' ἀγγελίαι.
μὴ δὲ νηρέος θυγάτηρ νει-
κέων πέταλα δὶς ἐγγυαλιζέτω,
ἄμμιν· ἐν διχομηνίδεσσι
δὲ ἑσπέραις ἐρατὸν
λύοι κεν χαλινὸν ὑ-
φ' ἥρωι παρθενίας.
ὣς φάτο κρονίδαις
ἐννέποισα θεά.
τοὶ δ' ἐπὶ γλεφάροις
νεῦσαν ἀθανάτοι-

σιν, ἐπίων δὲ καρπὸς
οὐ κατέφθινε. φαντὶ γὰρ συ-
ναλέγειν καὶ γάμον
θέτιος ἄνακτα καὶ
νέαν ἔδειξαν σοφῶν
στόμασ᾽ ἀπείροισιν ἀρε-
τὰν ἀχιλλέος. ὃ καὶ
μύσιον ἀμπελόεν
αἵμαξε τηλέφου μέλανι ῥαί-
νων φόνῳ πεδίον
ἀντ. γεφύρωσέ τ᾽ ἀτρείδαισι νόστον
ἑλέναν τ᾽ ἐλύσατο τρωΐας
ἶνας ἐκταμὼν δορὶ ταί μιν
ῥύοντό ποτ᾽ ἐκ μάχας ἐναριμβρότου.
ἔργον ἐν πεδίῳ κορύσσον-
τε, μέμνονός τε βίαν
ὑπέθυμον. ἕκτορά
τ᾽, ἄλλους τ᾽ ἀριστέας. οἷς
δῶμα περσεφόνας
μανύων ἀχιλλεὺς
οὖρος αἰακιδᾶν,
αἴγιναν σφετέραν
τε ῥίζαν πρόφαινε,
τὸν μὲν, οὔτε θανόντ᾽ ἀοιδαὶ
ἐλίποντ᾽. ἀλλά οἱ
παρά τε πυρὰν τάφον

θ᾽ ἑλικώνιαι

θ᾽ ἑλικώνιαι παρθένοι
ἔσαν ἐπὶ θρῆνόν τε πολύ-
φαμον ἔχευαν· ἔδο-
ξ᾽ ἆρα δ᾽ ἀθανάτοις
ἐς λόγον γε φῶτα καὶ φθίμενον ὕ-
μνοις θεᾶν διδόμεν.
ἐπ. τὸ καὶ νῦν φέρει λόγον, ἔσσυταί τε
μοισαῖον ἅρμα νικοκλέους
μνᾶμα πυγμάχου κελαδῆσαι
γεραίρετέ μιν. ὃς ἴσθμιον ἂν νάπος
δωρίων ἔλαχε σελίνων.
ἐπεὶ περικτύονας
ἐνίκασε δή ποτε
κἀκεῖνος ἄνδρας ἀφύ-
κτῳ χερὶ κλονέων,
τὸν μὲν, οὐ κατελέγ-
χει κριτοῦ γενεὰ
πατραδελφεοῦ ἀ-
λίκων τῷ τις ἁβρὸν
ἀμφὶ παγκρατίου κλεάνδρῳ
πλεκέτω μυρσίνας,
στέφανον, ἐπεί νιν ἀλ-
καθόου τ᾽ ἀγὼν σὺν τύχᾳ
ἐν ἐπιδαύρῳ τε νεό-
τας πρὶν ἔδεκτο, τὸν αἰνεῖν
ἀγαθῷ παρέχει

ἥβαν γὰρ οὐκ ἄπειρον ὑπὸ χει-
ᾶ καλῶν δάμασεν.

ΤΕΛΟΣ.

ΚΑΛΛΙΜΑΧΟΥ ΚΥΡΗΝΑΙΟΥ ΥΜΝΟΙ.

ΕΙΣ ΔΙΑ.

ζ ηνὸς ἔοι τί κεν ἄλλο παρὰ σπονδῇσιν ἀείδειν
λώϊον, ἢ θεὸν αὐτὸν ἀεὶ μέγαν αἰὲν ἄνακτα,
πηλογόνων ἐλατῆρα· δικασπόλον οὐρανίδῃσι.
πῶς καί μιν· δικταῖον ἀείσομεν, ἠὲ λυκαῖον.
ἐν δοιῇ μάλα θυμὸς, ἐπεὶ γένος ἀμφήριστον.
ζεῦ· σὲ μὲν ἰδαίοισιν ἐν οὔρεσι φασὶ γενέσθαι.
ζεῦ· σὲ δ' ἐν ἀρκαδίῃ. πότεροι πάτερ ἐψεύσαντο
κρῆτες ἀεὶ ψεῦσται· καὶ γὰρ τάφον ὦ ἄνα σεῖο
κρῆτες ἐτεκτήναντο· σὺ δ' οὐ θάνες· ἐσσὶ γὰρ αἰεί.
ἐν δέ σε παρρασίῃ ῥείη τέκεν· ἧχι μάλιστα
ἔσκεν ὄρος θάμνοισι περισκεπές· ἔνθεν ὁ χῶρος
ἱερός· οὐδέ τι μιν κεχρημένον εἰλειθυίης
ἑρπετόν· οὐδὲ γυνὴ ἐπιμίσγεται. ἀλλά ἑ ῥείης
ὠγύγιον καλέουσι λεχώϊον ἀπιδανῆες.
ἔνθά σ' ἐπεὶ μήτηρ μεγάλων ἀπεθήκατο κόλπων
αὐτίκα δίζητο ῥόον ὕδατος, ᾧ κε τόκοιο
λύματα χυτλώσαιτο. τεὸν δ' ἐνὶ χρῶτα λοέσσαι
λάδων ἀλλ' οὔπω μέγας ἔρρεεν· οὐδ' ἐρύμανθος

λευκότατος ποταμῶν. ἔτι δ᾽ ἄβροχος ἦεν ἅπασα
ἀζηνὶς. μέλλεν δὲ μάλ᾽ εὔυδρος καλέεσθαι
αὖτις. ἐπεὶ τῆμος δὲ ῥέη, ὅτ᾽ ἐλύσατο μίτρην.
ἦ πολλὰς ἐφύπερθε σαρωνίδας ὑγρὸς ἰάων
ἤειρεν. πολλὰς δὲ μέλας ὤκησεν ἁμάξας.
πολλὰ δὲ καρίωνος ἄνω διεροῦ περ ἐόντος,
ἰλυοὺς ἐβάλοντο κινώπετα. νίσετο δ᾽ ἀνὴρ
πεζὸς ὑπὲρ κρᾶθιν τε, πολύστειον τε μετώπην.
διψαλέος. τὸ δὲ πολλὸν ὕδωρ ὑπὸ ποσσὶν ἔκειτο.
καί ῥ᾽ ὑπ᾽ ἀμηχανίης σχομένη φάτο πότνια ῥείη.
γαῖα φίλη. τέκε καὶ σύ. τεαὶ δ᾽ ὠδῖνες ἐλαφραί.
εἶπε. καὶ ἀντανύσασα θεὰ μέγαν ὑψόθι πῆχυν,
πλῆξεν ὄρος σκήπτρῳ. τὸ δέ οἱ δίχα πουλὺ διέστη
ἐκ δ᾽ ἔχεεν μέγα χεῦμα. τόθι χρόα φαιδρυνάσα,
ὦνα τεὸν σπείρωσε. νέδη δέ σε δῶκε κομίσαι,
κευθμὸν ἔσω κρηταῖον. ἵνα κρύφα παιδεύοιο
πρεσβυτάτη νυμφέων, αἵ μιν τότε μαιώσαντο.
πρωτίστη γενεῆ μετά τε στύγα, φιλύρην τε.
οὐδ᾽ ἁλίην ἀπέτισε θεὴ χάριν. ἀλλὰ τὸ χεῦμα
κεῖνο, νέδην ὀνόμηνε. τὸ μέν ποθι πουλὺ κατ᾽ αὐτὸ
καυκώνων πτολίεθρον. ὃ λέπριον πεφάτισται,
συμφέρεται νηρῆϊ. παλαιότατον δέ μιν ὕδωρ
υἱωνοὶ πίνουσι λυκαονίης ἄρκτοιο.
εὖτε θενὰς ἀπέλιπεν ἐθὶ κνωσοῖο φέρουσα
ζεῦ πὲρ ἡ νύμφη σε, θεναὶ δ᾽ ἔσαν ἐγγύθι κνωσοῦ,
τουτάκι τοι πέσε δαῖμ᾽, ἀπ᾽ ὀμφαλός. ἔνθεν ἐκεῖνο

ὀμφάλιον μετέπειτα πέδον κλέεσι κύδωνες.
ζεῦ σὲ δὲ κυβάντων ἕταραι προσεπηχύναντο,
δικταῖαι μελίαι. σὲ δ' ἐκοίμισεν ἀδρήστεια,
λείκνῳ ἐνὶ χρυσέῳ. σὺ δ' ἐθήσαο πίονα μαζὸν
αἰγὸς ἀμαλθείης. ἐπὶ δὲ γλυκὺ κηρίον ἔβρως.
γέντο γὰρ ἐξαπιναῖα πανακρίδος ἔργα μελίσσης,
ἰδαίοισ ἐν ὄρεσσι. τά τε κλείουσι πάνακρα.
οὖλα δὲ κουρῆτές σε περὶ πρύλιν ὠρχήσαντο
τεύχεα πεπλήγοντες. ἵνα κρόνος οὔασιν ἠχὴν
ἀσπίδος εἰσαΐοι, καὶ μὴ σέο κουρίζοντος.
καλὰ μὲν ἠέξευ. καλὰ δ' ἔτραφες οὐράνιε ζεῦ.
ὀξὺ δ' ἀνήβησας. ταχινοὶ δέ τοι ἦλθον ἴουλοι.
ἀλλ' ἔτι παιδνὸς ἐὼν, ἐφράσσαο πάντα τέλεια.
τῷ τοι καὶ γνωτοὶ προτερηγενέες περ ἐόντες,
οὐρανὸν οὐκ ἐμέγηραν ἔχειν ἐπιδαίσιον οἶκον.
δηναιοὶ δ' οὐ πάμπαν ἀληθέες ἦσαν ἀοιδοί.
φάντο πάλον κρονίδῃσι διάτριχα δώματα νεῖμαι.
τίς δέ κ' ἐπ' οὐλύμπῳ τε, καὶ ἄϊδι κλῆρον ἐρύσσαι.
ὃς μάλα μὴ νενίηλος. ἐπ' ἰσαίῃ γὰρ ἔοικε
πήλασθαι. τὰ δὲ, τόσσον ὅσον διὰ πλεῖστον ἔχουσι.
ψευδοίμην ἀΐοντος ἅ κεν πεπίθοιεν ἀκουήν.
οὔ σε θεῶν ἐσσῆνα πάλοι θέσαν. ἔργα δὲ χειρῶν.
σή τε βίη. τό τε κάρτος, ὃ καὶ πέλας εἵσαο δίφρου.
θήκαο δ' οἰωνὸν μέγ' ὑπείροχον ἀγγελιώτην
σῶν τεράων. ἅ τ' ἐμοῖσι φίλοις ἐνδέξια φαίνοις.
εἵλεο δ' αἰζηῶν ὅτι φέρτατον. οὐ σύ γε νηῶν

ἐμπεράμους. οὐκ ἄνδρα σακέσπαλον, οὐ μὲν ἀοιδόν·
ἀλλὰ τὰ μὲν, μακάρεσσιν ὀλίζοσιν αὖθι παρῆκας·
ἄλλα μέλειν ἑτέροισι. σὺ δ' ἐξέλεο πτολιάρχους
αὐτοὺς, ὧν ὑπὸ χεῖρα γεωμόρος· ὧν ἴδρις αἰχμῆς·
ὧν ἐρέτης· ὧν πάντα. τί δ' οὐ κρατέοντος ὑπ' ἰσχύν
αὐτίκα χαλκῆας μὲν ὑδείομεν ἡφαίστοιο.
τευχηστὰς δ' ἄρηος· ἐπακτῆρας δὲ χιτώνης
ἀρτέμιδος. φοίβου δὲ λύρης εὖ εἰδότας οἴμους.
ἐκ δὲ διὸς βασιλῆες. ἐπεὶ διὸς οὐδὲν ἀνάκτων
θειότερον. τῷ καί σφι τεὴν ἐκρίναο λάξιν.
δῶκας δὲ πτολίεθρα φυλασσέμεν. ἵζεο δ' αὐτὸς
ἄκρῃς ἐν πολίεσσιν ἐπόψιος. οἵ τε δίκῃσι
λαὸν ὑπὸ σκολιῇς, οἵ τ' ἔμπαλιν ἰθύνουσιν.
ἐν δὲ ῥυηφενίην ἔβαλες σφίσιν· ἐν δ' ἅλις ὄλβον
πᾶσι μέν· οὐ μάλα δ' ἶσον. ἔοικε δὲ τεκμήρασθαι,
ἡμετέρῳ μεδέοντι· περιπρὸ γὰρ εὐρὺ βέβηκεν.
ἑσπέριος κεῖνός γε τελεῖ, τά κεν ἦρι νοήσει.
ἑσπέριος τὰ μέγιστα· τὰ μείονα δ' εὖτε νοήσει.
οἱ δὲ, τὰ μὲν, πλειῶνι. τὰ δ' οὐχ ἑνί. τῶν δ' ἀπὸ πάμπαν
αὐτὸς ἄνην ἐκόλουσας· ἐνέκλασας δὲ μενοινήν.
χαῖρε μέγα κρονίδη πανυπέρτατε, δῶτορ ἐάων.
δῶτορ ἀπημονίης. τεὰ δ' ἔργματα, τίς κεν ἀείδοι.
οὐ γένετ', οὐκ ἔσται. τίς κεν διὸς ἔργματ' ἀείσει.
χαῖρε πάτερ· χαῖρ' αὖθι· δίδου δ' ἀρετήν τ' ἄφενός τε
οὔτ' ἀρετῆς ἄτερ ὄλβος ἐπίσταται ἄνδρας ἀέξειν,
οὔτ' ἀρετὴ ἀφένοιο. δίδου δ' ἀρετήν τε καὶ ὄλβον.

ΕΙΣ ΑΠΟΛΛΩΝΑ.

Οἷον τῶ' πόλλωνος ἐσείσατο δάφνι-
νος ὅρπηξ.
οἷα δ' ὅλον τὸ μέλαθρον. ἑκὰς ἑκὰς
ὅς,τις ἀλιτρός.
καὶ δή που τὰ θύρετρα καλῷ ποδὶ φοῖβος ἀράσσει.
οὐχ ὁράας. ἐπένευσεν ὁ δήλιος ἡδύ τι φοίνιξ
ἐξαπίνης. ὁ δὲ κύκνος ἐν ἠέρι καλὸν ἀείδει.
αὐτοὶ νῦν κατοχῆες ἀνακλίνεσθε πυλάων.
αὐταὶ δὲ κληῖδες. ὁ γὰρ θεὸς οὐκέτι μακράν.
οἱ δὲ νέοι, μολπήν τε καὶ ἐς χορὸν ἐντύνεσθε.
ὠ' πόλλων οὐ παντὶ φαείνετ'. ἀλλ' ὅτις ἐσθλός.
ὅς μιν ἴδῃ, μέγας οὗτος. ὃς οὐκ ἴδε, λιτὸς ἐκεῖνος.
ὀψόμεθ' ὦ ἑκάεργε, καὶ ἐσσόμεθ' οὔ ποτε λιτοί.
μήτε σιωπηλὴν κύθαριν, μήτ' ἄψοφον ἴχνος
τοῦ φοίβου τοὺς παῖδας ἔχειν ἐπιδημήσαντος,
εἰ τελέειν μέλλουσι γάμον, πολιήν τε κερεῖσθαι.
ἑστήξειν δὲ τὸ τεῖχος ἐπ' ἀρχαίοισι θεμέθλοις.
ἠγασάμην τοὺς παῖδας, ἐπεὶ χέλυς οὐκέτ' ἀεργός.
εὐφημεῖτ' ἀΐοντες ἐπ' ἀπόλλωνος ἀοιδῇ.
εὐφημεῖ καὶ πόντος ὅτε κλείουσιν ἀοιδοί,
ἢ κύθαριν, ἢ τόξα λυκωρέος, ἔντεα φοίβου.
οὐδὲ θέτις ἀχιλῆα κινύρεται αἴλινα μήτηρ,
ὁππόθ' ἰὴ παιῆον ἰὴ παιῆον ἀκούσῃ.
καὶ μὲν ὁ δακρυόεις ἀναβάλλεται ἄλγεα πέτρος.

ὅστις ἐνὶ φρυγίῃ διερὸς λίθος ἐστήρικται,
μάρμαρον ἀντὶ γυναικὸς ὀϊζυρόν τι χανούσης.
ἰὴ ἰὴ φθέγγεσθε κακὸν μακάρεσσιν ἐρίζειν.
ὃς μάχεται μακάρεσσιν, ἐμῷ βασιλῆϊ μάχοιτο.
ὅστις ἐμῷ βασιλῆϊ καὶ ἀπόλλωνι μάχοιτο,
τὸν χορὸν ἀπόλλων ὅτι οἱ κατὰ θυμὸν ἀείδει,
τιμήσει· δύναται γὰρ ἐπεὶ διὶ δεξιὸς ἧσται.
οὐδ' ὁ χορὸς τὸν φοῖβον, ἐφ' ἓν μόνον ἦμαρ ἀείσει.
ἔστι γὰρ εὔυμνος. τίς ἂν οὐ ῥέα φοῖβον ἀείδει.
χρύσεα τῷ ἀπόλλωνι, τό τ' ἐνδυτὸν, ἥ τ' ἐπιπορπίς.
ἥ τε λύρη. τό τ' ἄημμα τὸ λύκτιον· ἥ τε φαρέτρη.
χρύσεα καὶ τὰ πέδιλα· πολύχρυσος γὰρ ἀπόλλων.
καί τε πολυκτέανος. πυθῶνί κε τεκμήραιο.
καί κεν ἀεὶ καλὸς καὶ ἀεὶ νέος. οὔ ποτε φοίβου
θηλείαις οὐδ' ὅσον ἐπὶ χνόος ἦλθε παρειαῖς.
αἱ δὲ κόμαι, θυόεντα πέδῳ λείβουσιν ἔλαια.
οὐ λίπος ἀπόλλωνος ἀποστάζουσιν ἔθειραι.
ἀλλ' αὐτὴν πανάκειαν. ἐν ἄστει δ' ᾧ κεν ἐκεῖναι
πρῶκες ἔραζε πέσωσιν, ἀκήρια πάντ' ἐγένοντο.
τέχνῃ δ' ἀμφιλαφής· οὔτις τόσον, ὅσον ἀπόλλων
κεῖνος ὀϊστευτὴν ἔλαχ' ἀνέρα· κεῖνος ἀοιδόν.
φοίβῳ γὰρ καὶ τόξον ἐπιτέτραπται, καὶ ἀοιδή.
κείνου δὲ θριαὶ, καὶ μάντιες· ἐκ δέ νυ φοίβου,
ἰητροὶ δεδάασιν ἀνάβλησιν θανάτοιο.
φοῖβον καὶ νόμιον κικλήσκομεν ἐξέτι κείνου
ἐξότ' ἐπ' ἀμφρυσσῷ ζευγίτιδας ἔτρεφεν ἵππους.

ἠϊθέου ὑπ᾽ ἔρωτι κεκαυμένος ἀδμήτοιο·
ῥεῖα κε βουβόσιον τελέθει πλέον· οὐδέ κεν αἶγες
δεύοιντο βρεφέων ἐπιμηλάδες· ᾗσιν ἀπόλλων
βοσκομένῃς ὀφθαλμὸν ἐπήγαγεν. οὐδ᾽ ἀγάλακτοι
οἴιες, οὐδ᾽ ἄκυθοι· πᾶσαι δέ κεν εἶεν ὕπαρνοι.
ἡ δέ κε μονοτόκος, διδυμοτόκος αἶψα γένοιτο.
φοίβῳ δ᾽ ἑσπόμενοι, πόλιας διεμετρήσαντο
ἄνθρωποι· φοῖβος γὰρ ἀεὶ πολίεσσι φιληδεῖ
κτιζομέναις. αὐτὸς δὲ θεμείλια φοῖβος ὑφαίνει.
τετραέτης τὰ πρῶτα θεμείλια φοῖβος ἔπηξε·
καλῇ ἐν ὀρτυγίῃ, περιηγέος ἐγγύθι λίμνης·
ἄρτεμις ἀγρώσσουσα καρήατα συνεχὲς αἰγῶν
κυνθιάδων φορέεσκεν· ὁ δ᾽ ἔπλεκε βωμὸν ἀπόλλων·
δείματο μὲν κεράεσσιν ἐδέθλια· πῆξε δὲ βωμὸν
ἐκ κεράων· κεραοὺς δὲ πέριξ ὑπεβάλλετο τοίχους.
ὧδ᾽ ἔμαθεν τὰ πρῶτα θεμείλια φοῖβος ἐγείρειν.
φοῖβος καὶ βαθύγειον ἐμὴν πόλιν ἔφρασε βάττῳ·
καὶ λιβύην ἐσιόντι κόραξ ἡγήσατο λαῷ,
δεξιὸς οἰκιστῆρ· καὶ ὤμοσε τείχεα δώσειν
ἡμετέροις βασιλεῦσιν. ἀεὶ δ᾽ εὔορκος ἀπόλλων.
ὦ ᾽πόλλον· πολλοί σε βοηδρόμιον καλέουσι·
πολλοὶ δὲ κλάριον· πάντη δέ τοι οὔνομα πουλύ.
αὐτὰρ ἐγὼ καρνεῖον· ἐμοὶ πατρώϊον οὕτω.
σπάρτη τοι καρνεῖε, τόδε πρώτιστον ἔδεθλον.
δεύτερον αὖ θήρη· τρίτατόν γε μὲν ἄστυ κυρήνης.
ἐκ μέν σε σπάρτης ἕκτον γένος οἰδιπόδαο,

ἤγαγε θηραίην ἐς ἀπώκτισιν. ἐκ δέ σε θήρης,
οὖλος ἀριστοτέλης ἀσβύστιδι πάρθετο γαίῃ.
δεῖμε δέ τοι μάλα καλὸν ἀνάκτορον. ἐν δὲ πόληϊ,
θῆκε τελεσφορίην ἐπετήσιον. ᾗ ἔνι πολλοὶ
ὑστάτιον πίπτουσιν ἐπ᾽ ἰσχίον ὦ ἄνα ταῦροι.
ἰὴ ἰὴ καρνεῖε πολύλιτε. σεῖο δὲ βωμοὶ,
ἄνθεα μὲν φορέουσιν ἐν εἴαρι. τόσσα περ ὧραι
ποικίλ᾽ ἀγινεῦσι ζεφύρου πνείοντος ἐέρσην
χείματι δὲ κρόκον ἡδύν. ἀεὶ δέ τοι ἀείζωον πῦρ.
οὐδέ ποτε χθιζὸν περιβόσκεται ἄνθρακα τέφρη.
ἦ ῥ᾽ ἐχάρη μέγα φοῖβος, ὅτε ζωστῆρες ἐνυοῦς
ἀνέρες ὠρχήσαντο μετὰ ξανθῇσι λιβύσσῃς
τέθμιαι. εὖτέ σφιν καρνειάδες ἤλυθον ὧραι.
οἱ δ᾽ οὔπω πηγῆς κυρῆς ἐδύναντο πελάσσαι
δωριέες. πυκινὴν δὲ νάπαις ἄζιλιν ἔναιον.
τοὺς μὲν ἄναξ ἴδεν αὐτός. ἑῇ δ᾽ ἐπεδείξατο νύμφῃ
στὰς ἐπὶ μυρτούσης κερατώδεος. ἧχι λέοντα
ὑψηῒς κατέπεφνε βοῶν σίνιν εὐρυπύλοιο.
οὐ κείνου χορὸν εἶδε θεώτερον ἄλλον ἀπόλλων.
οὐδὲ πόλει τόσ᾽ ἔνειμεν ὀφέλσιμα τόσσα κυρήνῃ
μνωόμενος προτέρης ἁρπακτύος. οὐδὲ μὲν αὐτοὶ
βαττιάδαι φοίβοιο πλέον θεὸν ἄλλον ἔτισαν.
ἰὴ ἰὴ παιῆον ἀκούομεν. οὕνεκα τοῦτο
δελφός τοι πρώτιστον ἐφύμνιον εὕρετο λαός.
ἦμος ἑκηβολίην χρυσέων ἐπεδείκνυσο τόξων.
πυθώ τοι κατιόντι συνήντετο δαιμόνιος θήρ,

αἰνὸς ὄφις· τὸν μὲν, σὺ κατήναρες ἄλλον ἐπ' ἄλλῳ·
βάλλων ὠκὺν ὀϊστόν· ἐπηΰτησε δὲ λαός·
ἱὴ ἱὴ παιῆον ἵει βέλος· εὐθύ σε μήτηρ,
γείνατ' ἀοσσητῆρα. τὸ δ' ἐξ ἔτι κεῖθεν ἀείδει·
ὁ φθόνος ἀπόλλωνος ἐπ' οὔατα λάθριος εἶπεν·
οὐκ ἄγαμαι τὸν ἀοιδὸν, ὃς οὐδ' ὅσα πόντος ἀείδει.
τὸν φθόνον ὠπόλλων, ποδί τ' ἤλασεν· ὧδέ τ' ἔειπεν·
ἀσσυρίου ποταμοῖο μέγας ῥόος· ἀλλὰ τὰ πολλὰ
λύμματα γῆς, καὶ πολλὸν ἐφ' ὕδατι συρφετὸν ἕλκει·
δηοῖ δ' οὐκ ἀπὸ παντὸς ὕδωρ φορέουσι μέλισσαι·
ἀλλ' ἥτις καθαρή τε καὶ ἀχράαντος ἀνέρπει
πίδακος ἐξ ἱερῆς ὀλίγη λιβὰς ἄκρον ἄωτον.
χαῖρε ἄναξ· ὁ δὲ μῶμος ἵν' ὁ φθόνος ἔνθα νέοιτο.

ΕΙΣ ΑΡΤΕΜΙΝ.

Ἄρτεμιν, οὐ γὰρ ἐλαφρὸν ἀειδόντεσσι λαθέσθαι,
ὑμνέομεν· τῇ τόξα λαγωβολίαι τε μέλονται.
καὶ χορὸς ἀμφιλαφής· καὶ ἐν οὔρεσιν ὑψιάασθαι.
ἀρχόμενοι, ὡς ὅτε πατρὸς ἐφεζομένη γονάτεσσι
παῖς ἔτι κουρίζουσα, τάδε προσέειπε γονῆα.
δός μοι παρθενίην αἰώνιον ἄππα φυλάσσειν.
καὶ πολυωνυμίην. ἵνα μή μοι φοῖβος ἐρίζῃ.
δὸς δ' ἰοὺς καὶ τόξα. ἔα πάτερ. οὔ σε φαρέτρην.

οὐδ᾽ αἰτέω μέγα τόξον· ἐμοὶ κύκλωπες ὀϊστοὺς
αὐτίκα τεχνήσονται. ἐμοὶ δ᾽ εὐκαμπὲς ἄεμμα.
ἀλλὰ φαεσφορίην τε, καὶ ἐς γόνυ μέχρι χιτῶνα
ζώννυσθαι λεγνωτὸν, ἵν᾽ ἄγρια θηρία καίνω.
δὸς δέ μοι ἑξήκοντα χορίτιδας ὠκεανίνας·
πάσας εἰνέτεας· πάσας ἔτι παῖδας ἀμίτρους·
δὸς δέ μοι ἀμφιπόλους ἀμνισίδας εἴκοσι νύμφας·
αἵτε μοι ἐνδρομίδας τε, καὶ ὁππότε μηκέτι λύ-
μήτ᾽ ἐλάφους βάλλοιμι, θοοὺς κύνας εὐκομέοι(κας
δὸς δέ μοι οὔρεα πάντα, πόλιν δέ μοι ἥντινα νεῖμον
ἥντινα λῇς. σπαρνὸν γὰρ ὅτ᾽ ἄρτεμις ἄστυ κάτεισιν,
οὔρεσιν οἰκήσω· πόλεσιν δ᾽ ἐπιμίξομαι ἀνδρῶν,
μοῦνον ὅτ᾽ ὀξείῃσιν ὑπ᾽ ὠδίνεσσι γυναῖκες,
τειρόμεναι καλέουσι βοηθόον· ᾗσι με μοῖραι
γεινομένην τὸ πρῶτον ἐπεκλήρωσαν ἀρήγειν.
ὅττι με καὶ τίκτουσα καὶ οὐκ ἤλγησε φέρουσα,
μήτηρ· ἀλλ᾽ ἀμογητὶ φίλων ἀπεθήκατο κόλπων
ὣς ἡ παῖς εἰποῦσα, γενειάδος ἤθελε πατρὸς
ἅψασθαι. πολλὰς δὲ μάτην ἐτανύσσατο χεῖρας,
μέχρις ἵνα ψαύσειε. πατὴρ δ᾽ ἐπένευσε γελάσσας.
φῆ δὲ καταρρέζων, ὅτι μοι τοιαῦτα θέαιναι
τίκτοιεν· τυτθόν κεν ἐγὼ ζηλήμονος ἥρης
χωομένης ἀλέγοιμι· φέρευ τέκος ὅσσ᾽ ἐθελημὸς
αἰτίζεις· καὶ δ᾽ ἄλλα πατὴρ ἔτι μείζονα δώσει.
τρὶς δέκα τοι πτολίεθρα, καὶ οὐχ ἕνα πύργον ὀπάσσω
τρὶς δέκα τοι πτολίεθρα, τὰ μὴ θεὸν ἄλλον ἀέξειν

ἔισετ᾽. ἀλλὰ μόνην σε καὶ ἀρτέμιδος καλέεσθαι·
πολλὰς δὲ ξυνῇ πόλιας διαμετρήσασθαι.
μεσσόγεως. νήσους τε. καὶ ἐν ἁπάσῃσιν ἔσονται
ἀρτέμιδος βωμοί τε καὶ ἄλσεα. καὶ μὲν ἀγυιαῖς
ἔσσῃ καὶ λιμένεσσιν ἐπίσκοπος· ὡς ὁ μὲν εἰπὼν,
μῦθον ἐπεκρήηνε καρήατι· βαῖνε δὲ κούρη
λευκὸν ἐπὶ κρηταῖον ὄρος. κεκομημένον ὕλῃ,
ἔνθεν ἐπ᾽ ὠκεανόν· πολέας δ᾽ ἐπελέξατο νύμφας
πάσας εἰνέτεας. πάσας ἔτι παῖδας ἀμίτρους·
χαῖρε δὲ καίρατος ποταμὸς μέγα· χαῖρε δὲ τηθύς·
οὕνεκα θυγατέρας λητωΐδι πέμπεν ἀμορβούς·
αὖτις δὲ κύκλωπας μετεκίαθε, τοὺς μὲν, ἔτετμε
νήσῳ ἐνὶ λιπάρῃ. λιπάρῃ νέον· ἀλλὰ τότ᾽ ἔσκεν
οὔνομά οἱ μελιγουνίς. ἐπ᾽ ἄκμοσιν ἡφαίστοιο
ἑσταότας περὶ μύδρον. ἐπείγετο γὰρ μέγα ἔργον·
ἱππείην τετύκοντο ποσειδάωνι ποτίστρην.
αἱ νύμφαι δ᾽ ἔδεισαν ὅπως ἴδον αἰνὰ πέλωρα·
πρηόσιν ὀσσαίοισιν ἐοικότας, πᾶσι δ᾽ ὑπ᾽ ὀφρὺν
φάεα μουνόγληνα σάκει ἶσα τετραβοείῳ·
δεινὸν ὑπογλαύσσοντα· καὶ ὁππότε δοῦπον ἄκουσαν,
ἄκμονος ἠχήσαντος. ἐπεὶ μέγα πουλύ τ᾽ ἄημμα
φυσάων, αὐτῶν τε βαρὺν στόνον. αὖε γὰρ αἴτνη.
αὖε δὲ τρινακρίη σικανῶν ἕδος· αὖε δὲ γείτων
ἰταλίη· μεγάλην δὲ βοὴν ἐπὶ κύρνος ἀΰτει.
εὖθ᾽ οἵγε ῥαιστῆρας ἀειράμενοι ὑπὲρ ὤμων,
ἢ χαλκὸν ζείοντα καμινόθεν, ἠὲ σίδηρον·

ἀμβολαδὶς τύπτοντες, ἐπεὶ μέγα μοχθήσειαν.
τῶ σφέας οὐκ ἐτάλασαν ἀκηδέες ὠκεανῖναι,
οὔτ' ἄντην ἰδέειν, οὔτε κτύπον οὔασι δέχθαι.
οὐ νέμεσις. κείνους δὲ καὶ αἱ μάλα μηκέτι τυτθαὶ
οὐδέ ποτ' ἀφρικτὶ μακάρων ὁρόωσι θύγατρες.
ἀλλ' ὅτε κουράων τις ἀπειθέα μητέρι τεύχοι,
μήτηρ μὲν κύκλωπας ἑῇ ἐπὶ παιδὶ καλιστρεῖ,
ἄργην, ἢ στερόπην. ὁ δὲ, δώματος ἐκ μυχάτοιο
ἔρχεται ἑρμείης σποδιῇ κεχριμένος αἰθῇ.
αὐτίκα τὴν κούρην μορμύσσεται. ἡ δὲ, τεκούσης
δύνει ἔσω κόλπους θεμένη ἐπὶ φάεσι χεῖρας.
κούρα. σὺ δὲ προτέρω περ ἔτι τριέτηρος ἐοῦσα,
εὖτ' ἔμολεν λητώ σε μετ' ἀγκαλίδεσσι φέρουσα,
ἡφαίστου καλέοντος, ὅπως ὀπτήρια δοίη,
βρόντεώ σε στιβαροῖσιν ἐφεσσαμένου γονάτεσσι,
στήθεος ἐκ μεγάλου λασίης ἐδράξαο χαίτης.
ὤλοψας δὲ βίηφι. τὸ δ' ἄτριχον εἰσέτι καὶ νῦν
μεσσάτιον στέρνοιο μένει μέρος. ὡς ὅτε κόρσην
φωτὸς ἐνιδρυνθεῖσα κόμην ἐπενείματ' ἀλώπηξ.
τῷ μάλα θαρσαλέη σφε τάδε προσελέξαο τῆμος.
κύκλωπες, ἦ μοί τι κυδώνιον εἰ δ' ἄγε τόξον
ἠδ' ἰοὺς κοίλην τε κατακληῖδα βελέμνων
τεύξατε. καὶ γὰρ ἐγὼ λητωιὰς ὥσπερ ἀπόλλων.
αἰ δέ κ' ἐγὼ τόξοις μόνιον δάκος, ἤ τι πέλωρον
θηρίον ἀγρεύσω, τὸ δέ κεν κύκλωπες ἔδοιεν.
ἔννεπες. οἱ δ' ἐτέλεσαν. ἄφαρ δ' ὡπλίσσαο δαῖμον

αἶψα δ' ἐπὶ σκύλακας πάλιν ἤιες· ἵκεο δ' αὖλιν
ἀρκαδικὴν ἐπὶ πανός. ὁ δὲ, κρέα λυγκὸς ἔταμνε
μαιναλίης, ἵνα οἱ τοκάδες κύνες εἶδαρ ἔδοιεν.
τὶν δ' ὁ γενειήτης, δύο μὲν κύνας. ἥμισυ πηγούς.
τρεῖς δὲ παρουατίους· ἕνα δ' αἰόλον· οἵ ῥα λέοντας
αὐτοὺς αὖ ἐρύοντες, ὅτε δράξαιντο δεράων,
εἷλκον ἔτι ζώοντας ἐπ' αὐλίον. ἑπτὰ δ' ἔδωκε
θάσσονας αὐράων κυνοσουρίδας· αἵ ῥα διῶξαι
ὤκισται νεβρούς τε καὶ οὐ μύοντα λαγωόν.
καὶ κοίτην ἐλάφοιο. καὶ ὕστριχος ἔνθα καλιαί
σημῆναι· καὶ ζορκὸς ἐπ' ἴχνιον ἡγήσασθαι.
ἔνθεν ἀπερχομένη, μετὰ καὶ κύνες ἐσσεύοντο.
εὗρες ἐπὶ προβολῆς ὄρεος τοῦ παρρασίοιο,
σκαιρούσας ἐλάφους· μέγα τι χρέος· αἱ μὲν, ἐπ' ὄχθῃς
αἰὲν ἐβουκολέοντο μελαμψήφιδος ἀναύρου·
μάσσονες ἢ ταῦροι· κεράων δ' ἀπελάμπετο χρυσός.
ἐξαπίνης δ' ἔταφές τε, καὶ ὃν ποτὶ θυμὸν ἔειπες.
τοῦτό κεν ἀρτέμιδος πρωτάγριον ἄξιον εἴη.
πέντ' ἔσαν αἱ πᾶσαι· πίσυρας δ' ἕλες ὦκα θέουσα,
νόσφι κυνοδρομίης, ἵνα τοι θοὸν ἅρμα φέρωσι.
τὴν δὲ μίαν κελάδοντος ὑπὲρ ποταμοῖ φυγοῦσαν,
ἥρης αἰνεσίῃσιν ἀέθλιον ἡρακλῆϊ
ὕστερον ὄφρα γένοιτο, πάγος κερώειος ἔδεκτο.
ἄρτεμι παρθενίη τιτυοκτόνε· χρύσεα μέν τοι
ἔντεα καὶ ζώνη· χρύσεον δ' ἐζεύξαο δίφρον.
ἐν δ' ἐβάλευ χρύσεια θεὰ κεμάδεσσι χαλινά.

ποῦ δέ σε τὸ πρῶτον κερόεις ὄχος ἤρξατ' ἀείρειν·
αἵμῳ ἐπὶ θρήϊκι. τόθεν βορέαο καταῖξ
ἔρχεται ἀχλαίνοισι δυσαέα κρυμὸν ἄγουσα.
ποῦ δ' ἔταμες πεύκην· ἀπὸ δὲ φλογὸς ἥψαο ποίης,
μυσῷ ἐν ὀλύμπῳ. φάεος δ' ἐνέηκας ἀϋτμὴν
ἀσβέστου, τὸ ῥα πατρὸς ἀποστάζουσι κεραυνοί·
ποσσάκι δ' ἀργυρέοιο θεὴ πειρήσαο τόξου·
πρῶτον ἐπὶ πτελέην. τὸ δὲ δεύτερον ἧκας ἐπὶ δρῦν.
τὸ τρίτον αὖτ' ἐπὶ θῆρα. τὸ τέτρατον οὐκέτ' ἐπὶ δρῦν.
ἀλλά μιν εἰς ἀδίκων ἔβαλες πόλιν. οἵ τε περὶ σφέας,
οἵ τε περὶ ξείνους ἀλιτήμονα πολλὰ τέλεσκον,
σχέτλιοι, οἷς τύνη χαλεπὴν ἐμμάξεαι ὀργήν·
κτήνεά σφιν λοιμὸς καταβόσκεται. ἔργα δὲ πάχνη
κείρονται δὲ γέροντες ἐφ' υἱάσιν. αἱ δὲ γυναῖκες,
ἢ βληταὶ θνήσκουσι λεχωΐδες, ἠὲ φυγοῦσαι
τίκτουσι. τῶν δ' οὐδὲν ἐπὶ σφυρὸν ὀρθὸν ἀνέστη·
οἷς δέ κεν εὐμειδής τε καὶ ἵλαος αὐγάσεαι,
κείνοις εὖ μὲν ἄρουρα φέρει στάχυν· εὖ δὲ γενέθλη
τετραπόδων. εὖ δ' ὄλβος ἀέξεται. οὐδ' ἐπὶ σῆμα
ἔρχονται· πλὴν εὖτε πολυχρόνιόν τι φέρωσιν.
οὐδὲ διχοστασίη τρώει γένος. ἥ τε καὶ εὖ περ
οἴκους ἑστηῶτας ἐσίνατο. ταὶ δὲ θυωρὸν
εἰνάτερες γαλόῳ τε μίαν περὶ δίφρα τίθενται·
πότνια. τῶν εἴη μὲν ἐμοὶ φίλος ὅστις ἀληθής·
εἴην δ' αὐτὸς ἄνασσα. μέλοι δέ μοι αἰὲν ἀοιδή.
τῇ ἔνι μὲν λητοῦς γάμος ἔσσεται· ἐν δὲ σὺ πολλή·

ἐν δὲ

ἐν δὲ καὶ ἀπόλλων· ἐν δ' οἵ σέο πάντες ἄεθλοι·
ἐν δὲ κύνες· καὶ τόξα· καὶ ἄντυγες· αἵ τέ σε ῥεῖα
θηητὴν φορέουσιν ὅτ' ἐς διὸς οἶκον ἐλαύνεις.
ἔνθά τοι ἀντιόωντες ἐνὶ προμολῇσι δέχονται.
ὅπλα μὲν ἑρμείης ἀκακήσιος. αὐτὰρ ἀπόλλων
θηρίον ὅττι φέρῃσθα· πάροιθε δὲ πρίν περ ἱκέσθαι
καρτερὸν ἀλκείδην. νῦν δ' οὐκέτι φοῖβος ἄεθλον.
φοῖβος ἔχει. τοῖος γὰρ ἀεὶ τιρύνθιος ἄκμων
ἕστηκεν πρὸ πυλέων ποτιδέγμενος, εἴ τι φέρουσα
νεῖαι πῖον ἔδεσμα· θεοί δ' ἐπὶ πάντες ἐκείνῳ
ἄλληκτον γελόωσι. μάλιστα δὲ πενθερὴ αὐτή
ταῦρον ὅτ' ἐκ δίφροιο μάλα μέγαν ἢ ὅγε χλούνην
κάπρον ὀπισθιδίοιο φέροι ποδὸς ἀσπαίροντα,
κερδαλέῳ μύθῳ σε θεὴ. μάλα τῷδε πινύσκει.
βάλλε. κακοὺς ἐπὶ θῆρας. ἵνα θνητοῖσι βοηθὸν
ὡς ἐμὲ κικλήσκουσιν. ἔα πρόκας. ἢ δὲ λαγωοὺς
οὔρεα βόσκεσθαι· τί δέ κεν πρόκες ἠδὲ λαγωοὺς
ῥέξειαν, σύες ἔργα, σύες φυτὰ λυμαίνονται.
καὶ βόες ἀνθρώποισι κακὸν μέγα. βάλλ' ἐπὶ καὶ τούς.
ὡς ἔνεπεν. ταχινὸς δὲ μέγαν περὶ θῆρα πονεῖτο.
οὐ γὰρ ὅγε φρυγίῃ περ ὑπὸ δρυῒ γυῖα θεωθεὶς
παύσατ' ἀδηφαγίης. ἔτι οἱ πάρα νηδὺς ἐκείνη.
τῇ ποτ' ἀροτριόωντι συνήντετο θειοδάμαντι.
σοὶ δ' ἀμνισιάδες μὲν ὑπὸ ζεύγληφι λυθείσας
ψήχουσιν κεμάδας. παρὰ δέ σφισι πουλὺ νέμεσθαι
ἥρης ἐκ λειμῶνος ἀμησάμεναι φορέουσιν

ὠκύθεον τριπέτηλον. ὃ καὶ δίος ἵπποι ἔδουσιν.
ἐν καὶ χρυσείας ὑπὸ ληνίδας ἐπλήσαντο.
ὕδατος. ὄφρ᾽ ἐλάφοισι ποτὸν θυμαρμένον εἴη.
αὐτὴ δ᾽ ἐς πατρὸς δόμον ἔρχεαι. οἱ δέ σ᾽ ἐφ᾽ ἕδρην
πάντες ὁμῶς καλέουσι. σὺ δ᾽ ἀπόλλωνι παρίζεις
ἡνίκα δ᾽ αἱ νύμφαι σε χορῷ ἔνι κυκλώσονται
ἀγχόθι πηγάων αἰγυπτίου ἰνωποῖο.
ἢ πιτάνης. καὶ γὰρ πιτάνη σέθεν ἢ ἐνὶ λίμναις.
ἢ ἵνα δαῖμον ἁλὰς ἀραφηνίδας οἰκήσουσα
ἦλθες ἀπὸ σκυθίης. ἀπὸ δ᾽ εἴπαο τέθμια ταύρων.
μὴ νειὸν τημοῦτος ἐμαὶ βόες εἵνεκα μισθοῦ
τετράγυον τέμνοιεν ὑπ᾽ ἀλλοτρίῳ ἀροτῆρι.
ἦ γάρ κεν γυιαί τε καὶ αὐχένα κεκμηῦαι
κόπρον ἔπι προγένοιντο, καὶ εἰ στυμφαιίδες εἶεν
εἰναετιζόμεναι κεραελκέες. αἳ μέγ᾽ ἄρισται
τέμνειν ὦλκα βαθεῖαν. ἐπεὶ θεὸς οὔ ποτ᾽ ἐκεῖνον
ἦλθε παρ᾽ ἥλιος καλὸν χορόν. ἀλλὰ θεῆται
δίφρον ἐπιστήσας. τὰ δὲ φάεα μηκύνονται.
τίς δὲ νύ τοι νήσων. ποῖον δ᾽ ὄρος εὔαδε πλεῖστον.
τίς δὲ λιμήν. ποίη δὲ πόλις. τίνα δ᾽ ἔξοχα νυμ-
φίλαο. καὶ ποίας ἡρωίδας ἔσχες ἑταίρας. (φέων
εἰπὲ θεά. σὺ μὲν ἄμμιν. ἐγὼ δ᾽ ἑτέροισιν ἀείσω.
νήσων μὲν δολίχη. πολίων δέ τοι εὔαδε πέργη.
τηΰγετον δ᾽ ὀρέων. λιμένες γε μὲν εὐρίποιο,
ἔξοχα δ᾽ ἀλλάων γορτυνίδα φίλαο νύμφην.
ἐλλοφόνον βριτόμαρτιν ἐύσκοπον. ἧς ποτε μίνως

πτοιηθεὶς ὑπ' ἔρωτι κατέδραμεν οὔρεα κρήτης.
ἡ δ' ὁτὲ μὲν λασίῃσιν ὑπὸ δρυσὶ κρύπτετο νύμφη,
ἄλλοτε δ' εἰαμενῇσιν· ὁ δ' ἐννέα μῆν' ἐφοίτα. (τὺν
παίπαλά τε κρημνούς τε· καὶ οὐκ ἀνέπαυσε διωκ-
μέσφ' ὅτε μαρπτομένη· καὶ δὴ σχεδὸν ἥλατο πόντ).
πρηνόνος ἐξ ὑπάτοιο. καὶ ἔνθορεν εἰς ἁλιήων
δίκτυα. τά σφ' ἐσάωσεν. ὅθεν μετέπειτα κύδωνες
νύμφαν μὲν δίκτυναν. ὄρος δ' ὅθεν ἥλατο νύμφη
δικταῖον καλέουσιν· ἀνεστήσαντο δὲ βωμούς.
ἱερά τε ῥέζουσι. τὸ δὲ στέφος ἤματι κείνῳ
ἢ πίτυς· ἢ σχῖνος· μύρτοιο δὲ χεῖρες ἄθικτοι.
δὴ τότε γὰρ πέπλοισιν ἐνέσχετο μύρσινος ὄζος
τῆς κούρης ὅτ' ἔφευγεν. ὅθεν μέγα χώσατο μύρτῳ.
οὖπι. ἄνασσ' εὐῶπι φαεσφόρε· καὶ δέ σε κείνης,
κρηταιέες καλέουσιν ἐπωνυμίην ἀπὸ νύμφης.
καὶ μὴν κυρήνην ἑταρίσσαο. τῇ ποτ' ἔδωκας
αὐτὴ θηρητῆρε δύω κύνε. τοῖς ἔνι κούρη
ὑψηὶς παρὰ τύμβον ἰώλκιον ἔμμορ' ἀέθλου.
καὶ κεφάλου ξανθὴν ἄλοχον δηιονίδαο
πότνια σὴν ὁμόθηρον ἐθήκαο· καὶ δέ σε φασὶ
καλὴν ἀντίκλειαν ἴσον φαέεσσι φιλῆσαι.
αἳ πρῶται θοὰ τόξα καὶ ἀμφ' ὤμοισι φαρέτρας
ἰοδόκους ἐφόρησαν. ἀσύλωτοι δέ σφιν ὦμοι
δεξιτεροί. καὶ γυμνὸς ἀεὶ παρεφαίνετο μαζός.
ᾔνησας δέ τι πάγχυ ποδορρώρην ἀταλάντην.
κούρην ἰασίοιο συοκτόνον ἀρκασίδαο.

καί ἑ κυνηλασίην τε καὶ εὐστοχίην ἐδίδαξας.
οὔ μιν ἐπίκλητοι καλυδωνίου ἀγρευτῆρες
μέμφονται κάπροιο. τὰ γὰρ σημήια νίκης
ἀρκαδίην εἰσῆλθεν. ἔχει δ᾽ ἔτι θηρὸς ὀδόντας.
οὐδὲ μὲν ὑλαῖόν τε καὶ ἄφρονα ῥοῖκον ἔολπα
οὐδέ περ ἐχθαίροντας ἐν ἄϊδι μωμήσασθαι
τοξότιν. οὐ γάρ σφιν λαγόνες συνεπιψεύσονται.
τάων μαιναλίη νᾶεν φόνῳ ἀκρώρεια.
πότνια πουλυμέλαθρε. πουλύπτολι χαῖρε χι-
μιλήτῳ ἐπίδημε. σὲ γὰρ ποιήσατο νηλεὺς (τώνη.
ἡγεμόνην. ὅτε νηυσὶν ἀνήγετο κεκροπίηθεν.
χησιὰς ἰμβρασίη. πρωτόθρονε. σοὶ δ᾽ ἀγαμέμνων
πηδάλιον νηὸς σφετέρης ἐγκάτθετο νηῷ.
μείλιον ἀπλοΐης, ὅτε οἱ κατέδησας ἀήτας.
τευκρῶν ἡνίκα νῆες ἀχαιίδες ἄστεα κήδειν
ἔπλεον ἀμφ᾽ ἑλένῃ ῥαμνουσίδι θυμωθεῖσαι.
ἦ μέν τοι προῖτός γε δύω ἐκαθίσατο νηούς.
ἄλλον μὲν κορίης ὅτι οἱ συνελέξαο κούρας
οὔρεα πλαζομένας ἀζήνια. τὸν δ᾽ ἐνὶ λούσοις
ἡμέρῃ οὕνεκα θυμὸν ἀπ᾽ ἄγριον εἵλεο παίδων.
σοὶ καὶ ἀμαζονίδες πολέμου ἐπιθυμήτειραι
ἔν κοτε παρραλίῃ ἐφέσου βρέτας ἱδρύσαντο.
φηγῷ ὑπὸ πρέμνῳ. τέλεσεν δέ τοι ἱερὸν ἱππώ.
αὐταὶ δ᾽ οὖπι ἄνασσα περὶ πρύλιν ὠρχήσαντο.
πρῶτα μὲν ἐν σακέεσσιν ἐνόπλιον, αὖθι δὲ κύκλῳ
στησάμεναι χορὸν εὐρύν. ὑπήεισαν δὲ λίγειαι

λεπταλέον σύριγγες· ἵνα πλήσσωσιν ὁμαρτῇ.
οὐ γάρ πω νέβρεια δι' ὀστέα τετρήνοντο.
ἔργον ἀθηναίης ἐλάφῳ κακόν· ἔδραμε δ' ἠχὼ
σάρδιας· ἔς τε νομὸν βερεκύνθιον· αἱ δὲ πόδεσσιν
οὖλα κατεκροτάλιζον· ἐπεψόφεον δὲ φαρέτραι.
κεῖνο δέ τοι μετέπειτα περὶ βρέτας εὐρυθέμεθλον
δωμήθη· τοῦ δ' οὔτι θεώτερον ὄψεται ἠώς.
οὐδ' ἀφνειότερον· ῥέα κεν πυθῶνα παρέλθοι.
τῷ ῥα καὶ ἠλαίνων ἀλαπαξέμεν ἠπείλησε.
λύγδαμις ὑβριστής· ἐπὶ δὲ στρατὸν ἱππημολγῶν
ἤγαγε κιμμερίων ψαμάθῳ ἴσον· οἵ ῥα παρ' αὐτὸν
κεκλιμένοι ναίουσι βοὸς πόρον ἰναχιώνης.
ἆ δειλὸς βασιλέων· ὅσον ἤλιτεν· οὐ γὰρ ἔμελλεν
οὔτ' αὐτὸς σκυθίηνδε παλιμπετὲς, οὔτε τις ἄλλος
ὅσων ἐν λειμῶνι καϋστρίῳ ἔσταν ἅμαξαι
νοστήσειν· ἐφέσου γὰρ ἀεὶ τεὰ τόξα πρόκειται.
πότνια μουνυχίη· λιμενοσκόπε χαῖρε φεραίη.
μή τις ἀτιμήσῃ τὴν ἄρτεμιν· οὐδὲ γὰρ οἰνεῖ
βωμὸν ἀτιμάσαντι, καλοὶ πόλιν ἦλθον ἀγῶνες
μὴ δ' ἐλαφηβολίην· μὴ δ' εὐστοχίην ἐριδαίνειν.
οὐδὲ γὰρ ἀτρείδης ὀλίγῳ ἐπεκόμπασε μισθῷ.
μὴ δέ τινα μνᾶσθαι τὴν παρθένον· οὐδὲ γὰρ ὦτος
οὐδὲ μὲν ὠαρίων ἀγαθὸν γάμον ἐμνήστευσαν.
μὴ δὲ χορὸν φεύγειν ἐνιαύσιον· οὐδὲ γὰρ ἱππὼ
ἀκλαυτεὶ περὶ βωμὸν ἀπείπατο κυκλώσασθαι
χαῖρε μέγα κρείουσα, καὶ εὐάντησον ἀοιδῇ.

τ ἣν ἱερὴν ὦ θυμέ· τίνα χρόνον, ἢ
πότ' ἀείσεις
δῆλον· ἀπόλλωνος κουροτρόφον·
ἦ μὲν ἅπασαι
κυκλάδες· αἳ νήσων ἱερώταται εἰν ἁλὶ κεῖνται,
εὔυμνοι· δῆλος δ' ἐθέλει τὰ πρῶτα φέρεσθαι
ἐκ μουσέων ὅτι φοῖβον ἀοιδάων μεδέοντα
λοῦσέ τε καὶ σπείρωσε. καὶ ὡς θεὸν ἤνεσε πρώτη
ὡς μοῦσαι τὸν ἀοιδὸν, ὃ μὴ πίμπλειαν ἀείσει
ἔχθουσιν, τὼς φοῖβος ὅτις δήλοιο λάθηται.
δήλῳ νῦν οἴμης ἀποδάσομαι· ὡς ἂν ἀπόλλων
κύνθιος αἰνήσῃ με φίλης ἀλέγοντα τιθήνης.
κείνη δ' ἠνεμόεσσα καὶ ἄτροπος οἷά θ' ἁλιπλὴξ·
αἰθυίῃς καὶ μᾶλλον ἐπίδρομος ἠέπερ ἵπποις,
πόντῳ ἐνεστήρικται· ὁ δ' ἀμφί ἑ πολλὸς ἑλίσσων
ἰκαρίου πολλὴν ἀπομάσσεται ὕδατος ἄχνην.
τῷ σφε καὶ ἰχθυβολῆες ἁλίπλοοι ἐννάσσαντο.
ἀλλά οἱ οὐ νεμεσητὸν ἐνὶ πρώτῃσι λέγεσθαι,
ὁπότ' ἐς ὠκεανόν τε καὶ ἐς τιτηνίδα τηθὺν
νῆσοι ἀολλίζονται. ἀεὶ δ' ἔξαρχος ὁδεύει.
ἡ δ' ὄπιθεν φοίνισσα μετ' ἴχνια κύρνος ὀπηδεῖ·
οὐκ ὀνοτή. καὶ μάκρις ἀβαντιὰς ἐλλοπιήων·
σαρδώ θ' ἱμερόεσσα. καὶ ἣν ἐπενήξατο κύπρις
ἐξ ὕδατος τὰ πρῶτα· σαοῖ δέ μιν ἀντ' ἐπιβάθρων

κεῖναι μὲν πύργοισι περισκεπέεσιν ἐρυμναί.
δῆλος δ' ἀπόλλωνι. τί δὲ στιβαρώτερον ἕρκος.
τείχεα μὲν καὶ λᾶες ὑπαὶ ῥιπῆς κε πέσοιεν
στρυμονίου βορέαο. θεὸς δ' ἀεὶ ἀσυφέλικτος.
δῆλε φίλη. τοῖός σε βοηθόος ἀμφιβέβηκεν.
εἰ δὲ λίην πολέες σε περιτροχόωσιν ἀοιδαί,
ποίῃ ἐνιπλέξω σε τί τοι θυμῆρες ἀκοῦσαι.
ἢ ὡς τὰ πρώτιστα μέγας θεὸς οὔρεα θείνων
ἄορι τριγλώχινι, τό οἱ τελχῖνες ἔτευξαν.
νήσους εἰναλίας εἰργάζετο. νέρθε δὲ πάσας
ἐκ νεάτων ὤχλισσε καὶ εἰσεκύλισσε θαλάσσῃ.
καὶ τὰς μὲν κατὰ βυθὸν ἵν' ἠπείροιο λάθωνται
πρυμνόθεν ἐρρίζωσε. σὲ δ' οὐκ ἔθλιψεν ἀνάγκη.
ἀλλ' ἄφετος πελάγεσσιν ἀπέπλεες. οὔνομα δ' ἦν σοι
ἀστερίη τὸ παλαιὸν. ἐπεὶ βαθὺν ἥλαο τάφρον
οὐρανόθεν φεύγουσα διὸς γάμον ἀστέρι ἴση.
τόφρα μὲν οὔ πω σοι χρυσέη ἐπεμίσγετο λητὼ,
τόφρα δέ τ' ἀστερίη σὺ καὶ οὐδέ πω ἔκλεο δῆλος.
πολλάκις ἐκ τροιζῆνος ἀπὸ ξάνθοιο πολίχνης
ἐρχόμενοι ἐφύρηνδε σαρωνικοῦ ἔνδοθι κόλπου,
ναῦται ἐπεσκέψαντο. καὶ ἐξ ἐφύρης ἀνιόντες.
οἱ μὲν ἔτ' οὐκ ἴδον αὖθι. σὺ δὲ στεινοῖο παρ' ὀξὺν
ἔδραμες εὐρίποιο πόρον καναχηδὰ ῥέοντος.
χαλκιδικῆς δ' αὐτῆμαρ ἀνηναμένη ἁλὸς ὕδωρ,
μέσφ' ἐς ἀθηναίων προσενήξαο σουνίον ἄκρον.
ἢ χίον. ἢ νήσοιο διάβροχον ὕδατι μασὸν

παρθενίης· οὔπω γὰρ ἔην σάμος. ἧχί σε νύμφαι
γείτονες ἀγκαίου μυκαλησίδες ἐξείνισαν.
ἡνίκα δ' ἀπόλλωνι γενέθλιον οὖδας ὑπέσχες.
τοῦτό τοι ἀντημοιβὸν ἁλίπλοοι οὔνομ' ἔθεντο·
οὕνεκεν οὐκέτ' ἄδηλος ἐπέπλεες· ἀλλ' ἐνὶ πόντου
κύμασιν αἰγαίοιο, ποδῶν ἐνεθήκαο ῥίζας.
οὐδ' ἥρην κοτέουσαν ὑπέτρεσας. ἡ μὲν ἁπάσαις
δεινὸν ἐπεβρωμᾶτο λεχωΐσιν· αἳ διὶ παῖδας
ἐξέφερον· λητοῖ δὲ διακριδὸν οὕνεκα μούνη
ζηνὶ τεκεῖν ἤμελλε φιλαίτερον ἄρεος υἷα.
τῷ ῥα καὶ αὐτὴ μὲν σκοπιὴν ἔχεν αἰθέρος εἴσω
σπερχομένη μέγα δή τι καὶ οὐ φατόν· εἶργε δὲ λητὼ
τειρομένην ὠδῖσι. δύο δέ οἱ εἵατο φρουροὶ
γαῖαν ὑποπτεύοντες· ὁ μὲν πέδον ἠπείροιο
ἥμενος ὑψηλῆς κορυφῆς ἔπι θρήϊκος αἵμου
θοῦρος ἄρης ἐφύλασσε σὺν ἔντεσι. τὼ δέ οἱ ἵππω
ἑπτάμυχον βορέαο παρὰ σπέος ηὐλίζοντο.
ἡ δ' ἔπι νησάων ἑτέρη σκοπὸς εὐρειάων
ἧστο κόρη θαύμαντος ἐπαΐξασα μίμαντι.
ἔνθ' οἱ μὲν πολίεσσιν ὅσαις ἐπεβάλλετο λητώ,
μίμνον ἀπειλητῆρες· ἀπετρώπων δὲ δέχεσθαι.
φεῦγε μὲν ἀρκαδίη. φεῦγεν δ' ὄρος ἱερὸν αὔγης
παρθένιον. φεῦγεν δ' ὁ γέρων μετόπισθε φενειός.
φεῦγε δ' ὅλη πελοπηὶς ὅση παρακέκλιται ἰσθμῷ
ἔμπλην αἰγιαλοῦ τε καὶ ἄργεος. οὐ γὰρ ἐκείνας
ἀτραπιτοὺς ἐπάτησεν. ἐπεὶ λάχεν ἴναχον ἥρη,

φεῦγε καὶ ἀονίη τὸν ἀνὰ δρόμον· αἱ δ᾽ ἐφέποντο
δίρκη τε στροφίη τε· μελαμψήφιδος ἔχουσαι
ἰσμηνοῦ χέρα πατρός. ὁ δ᾽ εἵπετο πολλὸν ὄπισθεν
ἀσωπὸς βαρύγουνος. ἐπεὶ πεπάλακτο κεραυ
ἡ δ᾽ ὑποδινηθεῖσα χορῦ ἀπεπαύσατο νύμφη. (νῷ·
αὐτόχθων μελίη. καὶ ὑπόχλοον ἔσχε παρειὼ·
ἥλικος ἀσθμαίνουσα περὶ δρυὸς ὡς ἴδε χαίτην·
σειομένην ἑλικῶνος· ἐμαὶ θεαὶ εἴπατε μοῦσαι,
ἦ ῥ᾽ ἐτεὸν ἐγένοντο τότε δρύες ἦνίκα νύμφαι·
νύμφαι μὲν χαίρουσιν ὅτε δρύας ὄμβρος ἀέξει.
νύμφαι δ᾽ αὖ κλαίουσιν, ὅτε δρυσὶν οὐκ ἔτι φύλλα
ταῖς μὲν ἔτ᾽ ἀπόλλων ὑποκόλπιος αἰνὰ χολώθη
φθέγξατο δ᾽ οὐκ ἀτέλεστον ἀπειλήσας ἐπὶ θήβῃ.
θήβη. τί πτε τάλαινα τὸν αὐτίκα πότμον ἐλέγχεις
μή πω μή μ᾽ ἀέκοντα βιάζεο μαντεύεσθαι.
οὔπω μοι πυθῶνι μέλει τριποδήιος ἕδρη.
οὐδέ τι πω τέθνηκεν ὄφις μέγας· ἀλλ᾽ ἔτι κεῖνο
θηρίον αἰνογένειον ἀπὸ πλειστοῖο καθέρπον·
παρνησσὸν νιφόεντα περιστέφει ἐννέα κύκλοις.
ἀλλ᾽ ἔμπης ἐρέω τι τομώτερον ἢ ἀπὸ δάφνης·
φεῦγε πρόσω. ταχινός σε κιχήσομαι αἵματι λούσων
τόξον ἐμόν. σὺ δὲ τέκνα κακογλώσσοιο γυναικὸς
ἔλλαχες. οὐ σύ γ᾽ ἐμεῖο φίλη τροφός. οὐδὲ κιθαιρὼν
ἔσσεται. εὐαγέων δὲ καὶ εὐαγέεσσι μελοίμην.
ὣς ἄρ᾽ ἔφη. λητὼ δὲ μετάτροπος αὖθις ἐχώρει.
ἀλλ᾽ ὅτ᾽ ἀχαιιάδες μιν ἀπηρνήσαντο πόληες

ὀρχομένην. ἑλίκη τε ποσειδάωνος ἑταίρη.
βοῦρά τε δεξαμενοῖο βοόστασις οἰκιάδαο,
ἄψ δ' ἐπὶ θεσσαλίην πόδας ἔτρεπε. φεῦγε δ' ἄναυρος
καὶ μεγάλη λάρισσα· καὶ αἱ χειρωνίδες ἄκραι·
φεῦγε δὲ καὶ πηνειὸς ἑλισσόμενος διὰ τεμπέων.
ἥρη· σοὶ δ' ἔτι τῆμος ἀνηλεὲς ἦτορ ἔκειτο.
οὐδὲ κατεκλάσθης τε καὶ ᾤκτισας· ἡνίκα πήχεις
ἀμφοτέρους ὀρέγουσα· μάτην ἐφθέγξατο τοῖα.
νύμφαι θεσσαλίδες ποταμοῦ γένος. εἴπατε πατρὶ
κοιμῆσαι μέγα χεῦμα· περιπλέξασθε γενείῳ
λισσόμεναι τὰ ζηνὸς ἐν ὕδατι τέκνα τεκέσθαι.
πηνειὲ φθιῶτα· τί νῦν ἀνέμοισιν ἐρίζεις.
ὦ πάτερ. οὐ μὴν ἵππον ἀέθλιον ἀμφιβέβηκας.
ἦ ῥά τοι ὧδ' αἰεὶ ταχινοὶ πόδες· ἦ ἐπ' ἐμεῖο
μοῦνοι ἐλαφρίζουσι. πεποίησαι δὲ πέτεσθαι
σήμερον ἐξαπίνης. ὁ δ' ἀνήκοος. ὦ ἐμὸν ἄχθος.
ποῖ σε φέρω. μέλεοι γὰρ ἀπειρήκασι τένοντες.
πήλιον ὦ φιλύρης νυμφήϊον. ἀλλὰ σὺ μεῖνον·
μεῖνον. ἐπεὶ καὶ θῆρες ἐν οὔρεσι πολλάκι σεῖο
ὠμοτόκους ὠδῖνας ἀπηρείσαντο λέαιναι.
τὴν δ' ἄρα καὶ πηνειὸς ἀμείβετο δάκρυα λείβων.
λητοῖ. ἀναγκαίη μεγάλη θεός. οὐ γὰρ ἔγωγε
πότνια σὰς ὠδῖνας ἀναίνομαι· οἶδα καὶ ἄλλας
λουσαμένας ἀπ' ἐμεῖο λεχωΐδας. ἀλλά μοι ἥρη
δαψιλὲς ἠπείλησεν. ἀπαύγασαι οἷος ἔφεδρος
οὔρεος ἐξ ὑπάτοιο σκοπὴν ἔχει· ὅς κε μὲ ῥεῖα

ἐνδόθεν ἐξερύσειε. τί μήσομαι ἢ ἀπολέσθαι
ἡδύ τι καὶ πηνειόν. ἴτω πεπρωμένον ἦμαρ·
τλήσομαι εἵνεκα σεῖο, καὶ εἰ μέλλοιμι ῥοάων
διψαλέην ἄμπωτιν ἔχων αἰώνιον ἕρπειν.
καὶ μόνος ἐν ποταμοῖσιν ἀτιμότατος καλέεσθαι.
ἠνὶ δ' ἐγώ· τί περισσά. κάλει μόνον εἰλήθειαν.
εἶπε· καὶ ἠρώησε μέγαν ῥόον. ἀλλά οἱ ἄρης
παγγαίου προθέλυμνα καρήατα μέλλεν ἀείρας
ἐμβαλέειν δίνῃσιν ἀποκρύψαι δὲ ῥέεθρα.
ὑψόθι δ' ἐσμαράγησε· καὶ ἀσπίδα τύψεν ἀκωκῇ
δούρατος· ἡ δ' ἐλέλιξεν ἐνόπλιον. ἔτρεμε δ' ὄσσης
οὔρεα καὶ πεδίον κρανώνιον· αἵ τε δυσαεῖς
ἐσχατιαὶ πίνδοιο. φόβῳ δ' ὠρχήσατο πᾶσα
θεσσαλίη. τοῖος γὰρ ἀπ' ἀσπίδος ἔβραχεν ἦχος.
ὡς δ' ὁπότ' αἰτναίου ὄρεος πυρὶ τυφομένοιο
σείονται μυχὰ πάντα κατουδαίοιο γίγαντος.
εἰς ἑτέρην βριαρῆος ἐπωμίδα κινυμένοιο.
θερμαῦστραί τε βρέμουσιν ὑφ' ἡφαίστοιο πυράγρης
ἔργα θ' ὁμοῦ· δεινὸν δὲ πυρίκμητοί τε λέβητες
καὶ τρίποδες πίπτοντες ἐπ' ἀλλήλοις ἰαχεῦσι,
τῆμος ἔγεντ' ἄραβος σάκεος τόσος εὐκύκλοιο.
πηνειὸς δ' οὐκ αὖτις ἐχάζετο· μίμνε δ' ὁμοίως
καρτερὸς ὡς τὰ πρῶτα. θοὰς δ' ἐστήσατο δίνας
εἰσόκε οἱ κοικηὶς ἐκέκλετο. σώζεο χαίρων.
σώζεο· μὴ σύ γ' ἐμεῖο πάθῃς κακὸν εἵνεκα τῆσδε
ἀντ' ἐλεημοσύνης· χάριτος δέ τοι ἔσσετ' ἀμοιβή.

ἢ καὶ πολλὰ πάροιθεν ἐπειγόμενον ἔστιχε νήσους
εἰναλίας· αἱ δ' οὔ μιν ἐπερχομένην ἐδέχοντο.
οὐ λιπαρὸν νήεσσιν ἐχινάδες ὅρμον ἔχουσαι·
οὐδ' ἥτις κέρκυρα φιλοξεινωτάτη ἄλλων·
ἶρις ἐπὶ πάσῃσιν ἐφ' ὑψηλοῖο μίμαντος (κλῆς
σπερχομένη μάλα πολλ' ἀπέτραπεν· αἱ δ' ὑφ' ὁμο
πασσυδίῃ φοβέοντο κατὰ ῥόον ἥν τινα τέτμοι.
ὠγυγίην δ' ἤπειτα κόων μεροπηΐδα νῆσον
ἵκετο χαλκιόπης ἱερὸν μυχὸν ἡρωΐνης.
ἀλλά ἑ παιδὸς ἔρυκεν ἔπος τόδε· μὴ σύ γε μῆτερ
τῇ με τέκοις· οὔτ' οὖν ἐπιμέμφομαι οὐδὲ μεγαίρω
νῆσον· ἐπεὶ λιπαρή τε καὶ εὔβοτος εἴ νύ τις ἄλλη·
ἀλλά οἱ ἐκ μοιρέων τις ὀφειλόμενος θεὸς ἄλλος
ἐστὶ σαωτήρων ὕπατον γένος· ᾧ ὑπὸ μίτρην
ἵξεται οὐκ ἀέκουσα μακηδόνι κοιρανέεσθαι,
ἀμφοτέρη μεσόγεια καὶ αἳ πελάγεσσι κάθηνται.
μέχρις ὅπου περάτη τε καὶ ὁππόθεν ὠκέες ἵπποι
ἠέλιον φορέουσιν· ὁ δ' εἴσεται ἤθεα πατρός.
καὶ νύ ποτε ξυνός τις ἐλεύσεται ἄμμιν ἄεθλος·
ὕστερον ὁππότ' ἂν οἱ μὲν ἐφ' ἑλλήνεσσι μάχαιραν
βαρβαρικὴν καὶ κελτὸν ἀναστήσαντες ἄρηα.
ὀψίγονοι τιτῆνες ἀφ' ἑσπέρου ἐσχατόωντος
ῥώσωνται νιφάδεσσιν ἐοικότες· ἢ ἰσάριθμοι
τείρεσιν· ἡνίκα πλεῖστα κατ' ἠέρα βουκολέονται.
φρούρια καὶ
καὶ πεδία κρισσαῖα· καὶ ἤπειροι

ἀμφιπερισείονται. ἴδωσι δὲ πίονα καρπὸν
γείτονος αἰθομένοιο. καὶ οὐκέτι μοῦνον ἀκουῇ.
ἀλλ' ἤδη παρὰ νηὸν ἀπαυγάζοιντο φάλαγγες
δυσμενέων. ἤδη δὲ παρὰ τριπόδεσσιν ἐμεῖο
φάσγανα καὶ ζωστῆρας. ἀναιδέας ἐχθομένας τε
ἀσπίδας. αἳ Γαλάτῃσι κακὴν ὁδὸν ἄφρονι φύλῳ
στήσονται. τέων αἱ μὲν ἐμοὶ γέρας. αἱ δ' ἐπὶ νείλῳ
ἐν πυρὶ τοὺς φορέοντας ἀποπνεύσαντας ἰδοῦσαι
κείσονται βασιλῆος ἀέθλια πολλὰ καμόντος
ἐσσόμεναι πτολεμαῖε. τά τοι μαντήϊα φαίνω.
αἰνήσεις μέγα δή τι τὸν εἰσέτι γαστέρι μάντιν
ὕστερον ἤματα πάντα. σὺ δὲ ξυμβάλλεο μῆτερ.
ἔστι διειδομένη τις ἐν ὕδασι νῆσος ἀραιή.
πλαζομένη πελάγεσι. πόδες δέ οἱ οὐκ ἐνὶ χώρῳ.
ἀλλὰ παλιρρόιη ἐπινήχεται ἀνθέρικος ὥς.
ἔνθα νότος ἔνθ' εὖρος ὅπῃ φορέῃσι θάλασσα
τῇ με φέροις. κείνην γὰρ ἐλεύσεαι εἰσεθέλουσαν.
αἱ μὲν τόσσα λέγοντος ἀπέτρεχον εἰν ἁλὶ νῆσοι.
ἀστερίη φιλόμολπε. σὺ δ' εὐβοίηθε κατήεις
κυκλάδας ὀψομένη περιηγέας, οὔτι παλαιόν.
ἀλλ' ἔτι τοι μετόπισθε γεραίστιον εἵπετο φῦκος

φλέξας. ἐπεὶ περικαίετο πυρὶ
τλήμον' ὑπ' ὠδίνεσσι καρωομένην ὁρόωσα.
ἥρη τοῦτό με ῥέξον ὅ τοι φίλον. οὐ γὰρ ἀπειλὰς
ὑμετέρας ἐφύλαξα. πέρα πέρα εἰς ἐμὲ λητοῖ.

ἔννεπες· ἡ δ' ἄῤῥητον ἄλης ἀπεπαύσατο λυγρῆς
ἕζετο δ' ἰνωποῖο παρὰ ῥόον. ὅν τε βάθιστον
γαῖα τότ' ἐξανίησιν ὅτε πλήθοντι ῥεέθρῳ
νεῖλος ἀπὸ κρημνοῖο κατέρχεται αἰθιοπῆος.
λύσατο δὲ ζώνην. ἀπὸ δ' ἐκλίνθη ἔμπαλιν ὤμοις
φοίνικος ποτὶ πρέμνον, ἀμηχανίης ὑπὸ λυγρῆς
τειρομένη. νότιος δὲ διὰ χροὸς ἔρρεεν ἱδρώς.
εἶπε δ' ἀλυσθμαίνουσα· τί μητέρα κοῦρε βαρύνεις.
αὕτη τοι φίλε νῆσος ἐπιπλώουσα θαλάσσῃ.
γείνεο γείνεο κοῦρε καὶ ἤπιος ἔξιθι κόλπου.
νύμφα διὸς βαρύθυμε. σὺ δ' οὐκ ἄρ' ἔμελλες ἄπυστος
δὴν ἔμμεναι. τοίησι προσέδραμεν ἀγγελιῶτις.
εἶπε δ' ἔτ' ἀσθμαίνουσα. φόβῳ δ' ἀνεμίσγετο μῦ
χρὴ τιμήεσσα. πολὺ προὔχουσα θεάων. (θος.
σὴ μὲν ἐγώ. σὰ δὲ πάντα, σὺ δὲ κρείσσω κάθησαι.
γνησίη οὐλύμποιο. καὶ οὐ χέρα δείδιμεν ἄλλην
θηλυτέρην. σὺ δ' ἄνασσα τὸν αἴτιον εἴσεαι ὀργῆς
λητώ τοι μίτρην ἀναλύεται ἔνδοθι νήσου.
ἄλλαι μὲν πᾶσαι μιν ἀπέστυγον. οὐδ' ἐδέχοντο.
ἀστερίη δ' ὀνομαστὶ παρερχομένην ἐκάλεσεν.
ἀστερίη πόντοιο κακὸν σάρον. οἶσθα καὶ αὐτή.
ἀλλὰ φίλη δύνασαι γὰρ ἀμύνειν πότνια δούλοις
ὑμετέροις. οἳ σεῖο πέδον πατέουσιν ἐφετμῇ.
ἦ. καὶ ὑπὸ χρύσειον ἐδέθλιον ἷζε κύων ὥς
ἀρτέμιδος. ἥτις τε θοῆς ὅτε παύσεται ἄγρης
ἷζει θηρήτειρα παρ' ἴχνεσιν. οὔατα δ' αὐτῆς

ὀρθὰ μάλ' αἰὲν ἑτοῖμα θεῆς ὑποδέχθαι ὁμοκλήν,
τῇ ἰκέλη θαύμαντος ὑπὸ θρόνον ἵζετο κούρη.
κείνη δ' οὐδέ ποτε σφετέρης ἐπιλήθεται ἕδρης.
οὐδ' ὅτε οἱ ληθαῖον ἐπὶ πτερὸν ὕπνος ἐρείσει.
ἀλλ' αὐτοῦ μεγάλοιο ποτὶ γλωχῖνα θρόνοιο
τυτθὸν ἀποκλίνασα καρήατα, λέχριος εὕδει.
οὐδέ ποτε ζώνην ἀναλύεται. οὐδὲ ταχείας
ἐνδρομίδας. μή οἵ τι καὶ αἰφνίδιον ἔπος εἴπῃ.
δεσπότις. ἡ δ' ἀλεγεινὸν ἀλαστήσασα προσηύδα
οὕτω νῦν ὦ ζηνὸς ὀνείδεα. καὶ γαμέεσθε
λάθρια. καὶ τίκτοιτε κεκρυμμένα. μὴ δ' ὅθι δειλαὶ
δυστοκέες μογέουσιν ἀλετρίδες. ἀλλ' ὅθι φῶκαι
εἰνάλιαι τίκτουσιν ἐνὶ σπιλάδεσσιν ἐρήμοις.
ἀστερίη δ' οὐδέν τι βαρύνομαι εἵνεκα τῆσδε
ἀμπλακίης. οὐδ' ἔστιν ὅπως ἀποθύμια ῥέξω
τόσσα δέοι, μάλα γάρ τε κακῶς ἐχαρίσατο λητοῖ
ἀλλά μιν ἔκπαγλόν τι σεβίζομαι. οὕνεκ' ἐμεῖο
δέμνιον οὐκ ἐπάτησε. διὸς δ' ἀνθείλετο πόντον.
ἣ μὲν ἔφη. κύκνοι δὲ θεοῦ μέλποντες ἀοιδοὶ
μηόνιον πακτωλὸν ἐκυκλώσαντο λιπόντες
ἑβδομάκις περὶ δῆλον. ἐπήεισαν δὲ λοχείῃ
μουσάων ὄρνιθες ἀοιδότατοι πετεηνῶν.
ἔνθεν ὁ παῖς τοσσάσδε λύρῃ ἐνεδήσατο χορδὰς
ὕστερον ὁσσάκι κύκνοι ἐπ' ὠδίνεσσιν ἄεισαν.
ὄγδοον οὐκέτ' ἤεισαν. ὁ δ' ἔκθορεν. αἱ δ' ἐπὶ μακρὸν
νύμφαι δηλιάδες ποταμοῦ γένος ἀρχαίοιο

εἶπαν ἐληθυίης ἱερὸν μέλος· αὐτίκα δ' αἰθὴρ
χάλκεος ἀντήχησε διαπρυσίην ὀλολυγήν.
οὐδ' ἥρη νεμέσησεν, ἐπεὶ χόλον ἐξέλετο ζεύς.
χρύσεα τοι τότε πάντα θεμείλια γείνετο δῆλε.
χρυσῷ δὲ τροχόεσσα πανήμερος ἔῤῥεε λίμνη.
χρύσειον δ' ἐκόμησε γενέθλιον ἔρνος ἐλαίης.
χρυσῷ δὲ πλήμυρε βαθὺς ἰνωπὸς ἑλιχθείς.
αὐτὴ δὲ χρυσέοιο ἀπ' οὔδεος εἵλεο παῖδα.
ἐν δ' ἐβάλευ κόλποισιν. ἔπος δ' ἐφθέγξαο τοῖον
ὦ μεγάλ', ὦ πολύβωμε. πολύπτολι. πολλὰ φέ-
πίονες ἤπειροί τε· καὶ αἳ περιναίετε νῆσοι. (ρουσα
αὕτη ἐγὼ τοιήδε δυσήροτος· ἀλλ' ἀπ' ἐμεῖο
δήλιος ἀπόλλων κεκλήσεται. οὐδέ τις ἄλλη
γαιάων τοσόνδε θεῷ πεφιλήσεται ἄλλῳ
οὐ κερχνὶς κρείοντι ποσειδάωνι λεχαίῳ.
οὐ πάγος ἑρμείῃ κυλλήνιος. οὐ δὲ διὶ κρήτη,
ὡς ἐγὼ ἀπόλλωνι. καὶ ἔσσομαι οὐκ ἔτι πλαγκτή.
ὧδε σὺ μὲν κατέλεξας· ὁ δὲ γλυκὺν ἔσπασε μα
τῷ καὶ νησάων ἁγιωτάτη ἐξέτι κείνου (ζόν.
κλήζῃ ἀπόλλωνος κουροτρόφος. οὐδέ σ' ἐνυὼ
οὐδ' ἀΐδης. οὐδ' ἵπποι ἐπιστείβουσιν ἄρηος.
ἀλλά τοι ἀμφιετεῖς δεκατηφόροι αἰὲν ἀπαρχαὶ
πέμπονται. πᾶσαι δὲ χορὺς ἀνάγουσι πόληες.
αἵ τε πρὸς ἠοίην. αἵθ' ἑσπερον. αἵτ' ἀνὰ μέσσην
κλήρους ἐστήσαντο. καὶ οἳ καθύπερθε βορείης
οἰκία θινὸς ἔχουσι πολυχρονιώτατον αἷμα.

οἱ μὲν

οἱ μέν τοι καλάμην τε, καὶ ἱρὰ δράγματα πρῶτοι
ἀσταχύων φορέουσιν. ἃ δωδώνηθε πελασγοὶ
τηλόθεν ἐκβαίνοντα πολὺ πρώτιστα δέχονται
γηλεχέες θεράποντες ἀσιγήτοιο λέβητος.
δεύτερον ἱερὸν ἄστυ, καὶ οὔρεα μηλίδος αἴης
ἔρχονται. κεῖθεν δὲ διαπλώουσιν ἀβάντων
εἰς ἀγαθὸν πεδίον ληλάντιον. οὐδέ τι μακρὸς
ὁ πλόος εὐβοίηθεν. ἐπεὶ σέο γείτονες ὅρμοι
πρῶταί τοι τάδ' ἔνεικαν ἀπὸ ξανθῶν ἀριμασπῶν
οὖπίς τε λοξώ τε καὶ εὐαίων ἑκαέργη.
θυγατέρες βορέαο. καὶ ἄρσενες. οἳ τότ' ἄριστοι
ἠϊθέων. οὐδ' οἵγε παλιμπετὲς οἴκαδ' ἵκοντο.
εὔμοιροι δ' ἐγένοντο καὶ ἀκλέες οὔποτ' ἐκεῖνοι.
ἤτοι δηλιάδες μὲν ὅτ' εὐηχὴς ὑμέναιος
ἤθεα κουράων μορμύσσεται, ἥλικα χαίτην
παρθενικαί. παῖδες δὲ θέρος τὸ πρῶτον ἰούλων
ἄρσενες ἠϊθέοισιν ἀπαρχόμενοι φορέουσιν.
ἀστερίη θυόεσσα. σὲ μὲν περί τ' ἀμφί τε νῆσοι
κύκλον ἐποιήσαντο, καὶ ὡς χορὸν ἀμφεβάλοντο.
οὔτε σιωπαλὴν οὔτ' ἄψοφον. οὖλος ἐθείραις
ἕσπερος. ἀλλ' αἰεί σε κατὰ βλέπει ἀμφιβόητον.
οἱ μὲν ὑπαείδουσι νόμον λυκίοιο γέροντος
ὅν τοι ἀπὸ ξάνθοιο θεοπρόπος ἤγαγεν ὠλήν.
αἱ δὲ ποδὶ πλήσσουσι χορίτιδες ἀσφαλὲς οὖδας.
δὴ τότε καὶ στεφάνοισι βαρύνεται ἱερὸν ἄγαλμα
κύπριδος ἀρχαίης ἀριήκοον. ἥν ποτε θησεὺς

εἴσατο σὺν παίδεσσιν ὅτε κρήτηθεν ἀνέπλει.
οἳ χαλεπὸν μύκημα καὶ ἄγριον υἷα φυγόντες
πασιφάης. καὶ γναμπτὸν ἕδος σκολιοῦ λαβυρίνθου
πότνια σὸν περὶ βωμὸν ἐγειρομένου κιθαρισμοῦ
κύκλιον ὠρχήσαντο. χοροῦ δ' ἡγήσατο θησεύς.
ἔνθεν ἀειζώοντα θεωρίδος ἱερὰ φοίβῳ
κεκροπίδαι πέμπουσι τοπήια νηὸς ἐκείνης.
ἀσερίη. πολύβωμε. πολύλλιτε. τίς δέ σε ναύτης
ἔμπορος αἰγαίοιο παρήλυθε νηῒ θεούσῃ.
οὐχ οὕτω μεγάλοι μιν ἐπιπνείουσιν ἀῆται.
χρειὼ δ' ὅττι τάχισον ἄγει πλόον, ἀλλὰ τὰ λαίφη
ὠκέες ἐστείλαντο καὶ οὐ πάλιν αὖθις ἔβησαν.
πρὶν μέγαν ἢ σέο βωμὸν ὑπὸ πληγῇσιν ἑλίξαι
ῥησσόμενον καὶ πρέμνον ὀδακτᾶσαι ἁγνὸν ἐλαίης
χεῖρας ἀποστρέψαντας ἃ δηλιὰς εὕρετο νύμφη
παίγνια κουρίζοντι καὶ ἀπόλλωνι γελαστύν.
ἱστίη. ὦ νήσων εὐέστιε. χαῖρε μὲν αὐτή.
χαίροι δ' ἀπόλλων τε, καὶ ἣν ἐλοχεύσατο λητώ.

ΕΙΣ ΛΟΥΤΡΑ ΤΗΣ ΠΑΛΛΑΔΟΣ.

Ὅσσαι λωτροχόοι τᾶς παλλάδος
ἔξιτε πᾶσαι,
ἔξιτε τᾶν ἵππων ἄρτι φρυ-
ασσομενᾶν.
τᾶν ἱερᾶν ἐσάκουσα καὶ ἁ θεὸς εὔτυκος ἕρπει.

σοῦσθέ νυν ὦ ξανθαὶ σοῦσθε πελασγιάδες·
Ο ὔποτ' ἀθαναία μεγάλως ἀπνίψατο πάχεις·
πρὶν κόνιν ἱππείαν ἐξελάσαι λαγόνων·
Ο ὐδ' ὅκα δὴ λύθρῳ πεπαλαγμένα πάντ' φέροι
τεύχεα τῶν ἀδίκων ἦνθ' ἀπὸ γηγενέων (σα
Α λλὰ πολὺ πράτιστον ὑφ' ἅρματος αὐχένας ἵπ
λυσαμένα παγαῖς ἔκλυσεν ὠκεανῶ (πων
Ι δρῶ καὶ ῥαθάμιγγας· ἐφοίβασεν δὲ παγέντα
πάντα χαλινοφάγων ἀφρὸν ἀπὸ στομάτων·
Ω ἴτ' ἀχαιϊάδες· καὶ μὴ μύρα μηδ' ἀλαβάστρως
συρίγγων ἀΐω φθόγγον ὑπαξονίων·
Μ ὴ μύρα λωτροχόοι τᾷ παλλάδι μηδ' ἀλαβά-
οὐ γὰρ ἀθαναία χρίματα μικτὰ φιλεῖ (στρως
Ο ἴσετε μηδὲ κάτοπτρον· ἀεὶ καλὸν ὄμμα τὸ τή
οὐδ' ὅκα τὰν ἴδαν φρὺξ ἐδίκαζεν ἔριν· (νας
Ο ὐδ' ἐς ὀρείχαλκον μεγάλα θεὸς, οὐδὲ σιμοῦντος
ἔβλεψεν δίναν ἐς διαφαινομέναν·
Ο ὐδ' ἥρη· κύπρις δὲ διαυγέα χαλκὸν ἑλοῖσα
πολλάκι τὰν αὐτὰν δὶς μετέθηκε κόμαν·
Α δὲ, δὶς ἑξήκοντα διαθρέξασα διαύλως·
οἷα παρ' εὐρώτᾳ τοὶ λακεδαιμόνιοι
Α στέρες ἐμπεράμως ἐτρίψατο λιτὰ βαλοῖσα
χρίματα τᾶς ἰδίας ἔκγονα φυταλιᾶς·
Ω κοῦραι· τὸ δ' ἔρευθος ἀνέδραμε πρώϊον οἵην
ἢ ῥόδον ἢ σίβδης κόκκος ἔχει χροΐην·
Τ ῷ καὶ νῦν ἄρσεν τι κομίσατε μῶνον ἔλαιον·

ᾧ κάστωρ ᾧ καὶ χρίεται ἡρακλέης.
Ο ἶσετε καὶ κτένα οἱ παγχρύσεον, ὡς ἀπὸ χαίταν
πέξηται. λιπαρὸν σμασαμένα πλόκαμον
Ε ξιθ' ἀθαναία. πάρα τοι καταθύμιος ἴλα.
παρθενικαὶ μεγάλων παῖδες ἀκεστοριδᾶν.
Ω θάνα· φέρεται δὲ καὶ ἁ διομήδεος ἀσπίς.
ὡς ἔθος ἀργείων τοῦτο παλαιότερον
Ε ὐμήδης ἐδίδαξε τεῒν κεχαρισμένος ἱρεύς.
ὅς ποτε βουλευτὸν γνοὺς ἐπί οἱ θάνατον
Δ ᾶμον ἑτοιμάζοντα, φυγᾷ τεὸν ἱερὸν ἄγαλμα
ᾤχετ' ἔχων· κρεῖον δ' εἰς ὄρος ᾠκίσατο.
Κ ρεῖον ὄρος· σὲ δὲ δαῖμον ἀπορρώγεσσιν ἔθηκεν
ἐν πέτραις. αἷς νῦν οὔνομα παλλατίδες.
Ε ξιθ' ἀθαναία περσέπτολι. χρυσεοπήληξ.
ἵππων καὶ σακέων ἁδομένα πατάγῳ.
Σ άμερον ὑδροφόροι μὴ βάπτετε. σάμερον ἄργος
πίνετ' ἀπὸ κρανᾶν, μὴ δ' ἀπὸ τῶν ποταμῶν.
Σ άμερον αἱ δῶλαι τὰς κάλπιδας ἢ 'ς φυσά-
ἢ ἐς ἀμυμώνην οἴσετε τὰν δαναῶ. (δειαν
Κ αὶ γὰρ δὴ χρυσῷ τε καὶ ἄνθεσιν ὕδατα μίξας.
ἥξει φορβαίων ἴναχος ἐξ ὀρέων.
Τ ἀθάνᾳ τὸ λοετρὸν ἄγων καλόν. ἀλλὰ πελασγὲ
φράζεο μ' οὐκ ἐθέλων τὰν βασίλειαν ἴδῃς.
Ο ς κεν ἴδῃ γυμνὰν τὰν παλλάδα τὰν πολιοῦ-
τὦργος ἐσοψεῖται τοῦτο πανυστάτιον. (χον,
Π ότνι' ἀθαναία· σὺ μὲν ἔξιθι. μέσφα δ' ἐγώ τι.

ταῖς δ' ἐρέω. μῦθος δ' οὐκ ἐμὸς ἀλλ' ἑτέρων
Π αῖδες ἀθαναία νύμφαν μίαν ἔν ποκα θήβαις
πουλύ τι καὶ περὶ δὴ φίλατο τᾶν ἑταρᾶν.
Μ ατέρα τειρεσίαο. καὶ οὔποκα χωρὶς ἔγεντο.
ἀλλὰ καὶ ἀρχαίων εὖτ' ἐπὶ θεσπιέων.
Η 'πὶ κορωνείας ἢ εἰς ἁλίαρτον ἐλαύνοι,
ἵππως βοιωτῶν ἔργα διερχομένα.
Η 'πὶ κορωνείας, ἵνα οἱ τεθυωμένον ἄλσος
καὶ βωμοὶ ποταμῷ κεῖντ' ἐπὶ κουραλίῳ.
Πολλάκις ἁ δαίμων μιν ἑῷ ἐπεβάσατο δίφρῳ.
οὐδ' ὄαροι νυμφᾶν οὐδὲ χοροστασίαι.
Α δεῖαι τελέθεσκον, ὅθ' οὐχ ἁγεῖτο χαρικλώ.
ἀλλ' ἔτι καὶ τήναν δάκρυα πόλλ' ἔμενε.
Καίπερ ἀθαναίᾳ καταθύμιον εὖσαν ἑταίραν.
δή ποτε γὰρ πέπλων λυσαμένα περόνας
Ι ππω ἐπὶ κράνᾳ, ἑλικωνίδι καλὰ ῥεοίσᾳ
λῶντο. μεσαμβρινὰ δ' εἶχ' ὄρος ἁσυχία.
Αμφότεραι λώοντο. μεσαμβριναὶ δ' ἔσαν ὧραι
Πολλὰ δ' ἁσυχία τῆνο κατεῖχεν ὄρος.
Τ ειρεσίας δ' ἔτι μοῦνος ἅμα κυσὶν ἄρτι γένεια
περκάζων, ἱερὸν χῶρον ἀνεστρέφετο.
Δ ιψάσας δ' ἄφατόν τι ποτὶ ῥόον ἤλυθε κράνας
σχέτλιος. οὐκ ἐθέλων δ' εἶδε τὰ μὴ θέμιτα.
Τὸν δὲ χολωσαμένα περ, ὅμως προσέφασεν ἀθάνα
τίς σε τὸν ὀφθαλμὼς οὐκ ἔτ' ἀποισόμενον
Ω εὐηρεῖδα χαλεπὴν ὁδὸν ἄγαγε δαίμων.

ἁ μὲν ἔφα. παιδὸς δ' ὄμματα νὺξ ἔβαλεν·
Ε στάθη δ' ἄφθογγος· ἐκόλλασαν γὰρ ἀνῖαι
γώνατα. καὶ φωνὰν ἔσχεν ἀμηχανία.
Α νύμφα δ' ἐβόησε· τί μοι τὸν κῶρον ἔρεξας
πότνια· τοιαῦται δαίμονές ἐστε φίλαι·
Ο μματά μοι τῶ παιδὸς ἀφείλεο. τέκνον ἄλαστε
εἶδες ἀθαναίας στήθεα καὶ λαγόνας.
Α λλ' οὐκ ἀέλιον πάλιν ὄψεαι· ὢ ἐμὲ δειλάν.
ὢ ὄρος. ὢ ἑλικὼν οὐκ ἔτι μοι παριτέ.
Η μεγάλ' ἀντ' ὀλίγων ἐπράξαο δόρκας ὀλέσσας
καὶ πρόκας οὐ πολλάς· φάεα παιδὸς ἔχεις.
Α μὲν ἀμφοτέραισι φίλον περὶ παῖδα λαβοῖσα
μάτηρ μὲν γοερῶν οἶτον ἀηδονίδων,
Α γε βαρὺ κλαίουσα· θεὰ δ' ἐλέησεν ἑταίραν·
καί μιν ἀθαναία πρὸς, τόδ' ἔλεξεν ἔπος.
Δ ῖα γύναι· μετὰ πάντα βαλεῦ πάλιν ὅσσα δι'
εἶπας. ἐγὼ δ' οὔ τοι τέκνον ἔθηκ' ἀλαόν. (ὀργὰν
Ο ὐ γὰρ ἀθαναίᾳ γλυκερὸν πέλει ὄμματα παίδων
ἁρπάζειν· κρόνιοι δ' ὧδε λέγοντι νόμοι·
Ο ς κέ τιν' ἀθανάτων ὅκα μὴ θεὸς αὐτὸς ἕληται
ἀθρήσῃ μισθῶ τοῦτον ἰδεῖν μεγάλω.
Δ ῖα γύναι. τὸ μὲν οὐ παλινάγρετον αὖθι γένοιτο
ἔργον· ἐπεὶ μοιρᾶν ὧδ' ἐπένησε λίνα·
Α νίκα τὸ πρῶτόν νιν ἐγείναο· νῦν δὲ κομίζευ
ὦ εὐηρείδα τέλθος ὀφειλόμενον
Π όσσα μὲν ἁ καδμηὶς ἐσύστερον ἔμπυρα καύσει.

ὅσσα δ' ἀρισταῖον τὸν μόνον εὐχόμενοι·
Π αῖδα τὸν ἁβατὰν ἀκταίονα τυφλὸν ἰδέσθαι
καὶ τῆνος μεγάλας σύνδρομος ἀρτέμιδος
Ε σσεῖτ'. ἀλλ' οὐκ αὐτὸν ὅ, τε δρόμος αἵ τ' ἐν ὄρεσσι
ῥυσεῦνται ξυναὶ τᾶμος ἑκαβολίαι.
Ο ππόταν οὐκ ἐθέλων περ ἴδῃ χαρίεντα λοετρὰ
δαίμονος· ἀλλ' αὐταὶ τὸν πρὶν ἄνακτα κύνες
Τ ουτάκι δειπνησεῦντι· τὰ δ' υἱέος ὀστέα μάτηρ
λεξεῖται δρυμὼς πάντας ἐπερχομένα.
Ο λβίσταν δ' ἐρέει σε καὶ εὐαίωνα γενέσθαι.
ἐξ ὀρέων ἀλαὸν παῖδ' ὑποδεξαμέναν.
Ω ἑτάρα· τῷ μή τι μινύρεο· τῷδε γὰρ ἄλλα
τεῦ χάριν ἐξ ἐμέθεν πολλὰ μενεῦντι γέρα.
Μ άντιν ἐπεὶ θησῶ νιν ἀοίδιμον ἐσσομένοισιν.
ἦ μέγα τῶν ἄλλων δή τι περισσότερον.
Γ νωσεῖται δ' ὄρνιθας ὃς αἴσιος. οἵ τε πέτονται
ἤλιθα· καὶ ποίων οὐκ ἀγαθαὶ πτέρυγες.
Πολλὰ δὲ βοιωτοῖσι θεοπρόπα· πολλὰ δὲ κάδμῳ
χρησεῖ· καὶ μεγάλοις ὕστερα λαβδακίδαις.
Δ ωσῶ καὶ μέγα βάκτρον, ὅ οἱ πόδας ἐς δέον ἀξεῖ
δωσῶ καὶ βιότου τέρμα πολυχρόνιον.
Κ αὶ μόνος εὖτε θάνῃ πεπνυμένος ἐν νεκύεσσι
φοιτασεῖ. μεγάλῳ τίμιος ἀγεσίλᾳ.
Ως φαμένα κατένευσε. τὸ δ' ἐντελὲς ᾧ κ' ἐπινεύσῃ
παλλάς. ἐπεὶ μώνᾳ ζεὺς τόγε θυγατέρων
Δ ῶκεν ἀθαναίᾳ πατρῷα πάντα φέρεσθαι.

λωτροχόοι· μάτηρ δ' οὔ τις ἔτικτε θεάν.
Ἀλλὰ διὸς κορυφά· κορυφὰ διὸς οὐκ ἐπινεύει
θυγάτηρ.
Ἔρχετ' ἀθαναία νῦν ἀτρεκές· ἀλλὰ δέχεσθε
τὰν θεὸν ὦ κῶραι τὤργον ὅσαις μέλεται.
Σύν τ' εὐαγορίᾳ. σύν τ' εὔγμασι σύν τ' ὀλολυγαῖς.
χαῖρε θεά· κάδευ δ' ἄργεος ἰναχίου.
Χαῖρε καὶ ἐξελάοισα· καὶ ἐς πάλιν αὖτις ἐλάσ(σαις
ἵππως· καὶ δαναῶν κλᾶρον ἅπαντα σάω.

ΕΙΣ ΔΗΜΗΤΡΑ.

Τῶ καλάθω κατιόντος ἐπι-
φθέγξασθε γυναῖκες.
Δάματερ. μέγα χαῖρε. πο-
λύτροφε πουλυμέδιμνε.
Τὸν κάλαθον κατιόντα χαμαὶ θασεῖσθε βέβαλοι
μὴ δ' ἀπὸ τῶ τέγεος μὴ δ' ὑψόθεν αὐγάσσησθε.
μὴ παῖς· μὴ δὲ γυνά· μὴ δ' ἃ κατεχεύατο χαίταν.
μὴ δ' ὅκ' ἀφ' αὐαλέων στομάτων πτύωμες ἄπαστοι.
ἕσπερος ἐκ νεφέων ἐσκέψατο πανίκα νεῖται.
ἕσπερος ὅς τε πιεῖν δαμάτερα μῶνος ἔπεισεν.
ἁρπαγίμας ὅτ' ἄπυστα μετέστιχεν ἴχνια κώρας
πότνια· πῶς σε δύναντο πόδες φέρεν ἐς τ' ἐπὶ
δυθμάς.
ἔστ' ἐπὶ τοὺς μέλανας· καὶ ὅπα τὰ χρύσεα μᾶλα.

οὐ πίες, οὔτ' ἄρ' ἔδες τῆνον χρόνον· οὐδ' ἐλοέσσω·
τρὶς μὲν δὴ διέβαινες ἀχελώϊον ἀργυροδίναν· διέβαες
τοσσάκι δ' ἀενάων ποταμῶν ἐπέρασας ἕκαστον
τρὶς δ' ἐπὶ καλλιχόροιο χαμάδις ἐκαθίσσαο φρητὶ
αὐσταλέα. ἄποτός τε καὶ οὐ φάγες οὐδ' ἐλοέσσω·
μὴ μὴ ταῦτα λέγωμες· ἃ δάκρυον ἤγαγε δηοῖ·
κάλλιον ὡς πολίεσσιν ἑαδότα τέθμια δῶκε
κάλλιον ὡς καλάμην τε καὶ ἱερὰ δράγματα πρᾶτα
ἀσταχύων ἀπέκοψε καὶ ἐν βόας ἧκε πατῆσαι
ἁνίκα τριπτόλεμος ἀγαθὰν ἐδιδάσκετο τέχναν·
κάλλιον. ὡς ἵνα καί τις ὑπερβασίας

ἰδέσθαι·

οὔπω τὰν κνιδίαν ἔτι δώτιον ἱρὸν ἔναιον·
τὶν δ' αὐτᾷ καλὸν ἄλσος ἐποιήσαντο πελασγοὶ
δενδρέσιν ἀμφιλαφές· διά κεν μόλις ἦνθεν ὀϊστὸς
ἐν πίτυς· ἐν μεγάλαι πτελέαι ἔσαν· ἐν δὲ καὶ ὄχναι
ἐν δὲ καλὰ γλυκύμαλα· τὸ δ' ὥστ' ἀλέκτρινον ὕδωρ
ἐξ ἀμαρᾶν ἀνέθυε· θεὰ δ' ἐπεμαίνετο χώρῳ·
ὅσσον ἐλευσῖνι τριόπῳ θ' ὅσον ὁκκόσον ἔννᾳ·
ἀλλ' ὅκα τριοπίδαισιν ὁ δεξιὸς ἄχθετο δαίμων,
τουτάκις ἁ χείρων ἐρυσίχθονος ἅψατο βωλά·
σεύατ' ἔχων θεράποντας ἐείκοσι πάντας ἐν ἀκμᾷ
πάντας δ' ἀνδρογίγαντας· ὅλαν πόλιν ἀρκίοι ἆραι
ἀμφοτέροις πελέκεσσι καὶ ἀξίναισιν ὁπλίσσας
ἐς δὲ τὸ τᾶς δάματρος ἀναιδέες ἔδραμον ἄλσος·
ἦς δέ τις αἴγειρος μέγα δένδρεον αἰθέρι κῦρον·

τῶδ' ἔπι ταὶ νύμφαι ποτὶ τ' ὤνδιον ἐψιόωντο·
ἁ πρᾶτα ϖλαγεῖσα, κακὸν μέλος ἴαχεν ἄλλαις
ᾔσθετο Δαμάτηρ ὅτι οἱ ξύλον ἱερὸν ἀλγεῖ.
εἶπε δὲ χωσαμένα· τίς μοι καλὰ δένδρεα κόπτει·
αὐτίκα νικίππῃ τάν οἱ πόλις ἀρήτειραν
δαμοσίαν ἔστασαν, ἐείσατο, γέντο δὲ χειρὶ
στέμματα καὶ μάκωνα· κατωμαδίαν δ' ἔχε κλᾶδ
φᾶ δὲ παραψύχοισα κακὸν καὶ ἀναιδέα φῶτα. (Λα·
τέκν)·ὅτις τὰ θεοῖσιν ἀνειμένα δένδρεα κόπτεις·
τέκνον· ἐλίννυσον τέκνον πολύθεστε τοκεῦσι·
παύεο καὶ θεράποντας ἀπότρεπε. μή τι χαλεφθῇ
πότνια Δαμάτηρ· τᾶς ἱερὸν ἐκκεραΐζεις·
τὰν δ' ἄρ ὑποβλέψας χαλεπώτερον ἠὲ κυναγὸν
ὤρεσιν ἐν τμαρίοισιν ὑποβλέπει ἄνδρα λέαινα·
ὠμοτόκος. τᾶς φαντὶ πέλειν βλοσυρώτατον ὄμμα
χάζευ ἔφα· μή τοι πέλεκυν μέγαν ἐν χροῒ πάξω
ταῦτα δ' ἐμὸν θασεῖ στεγανὸν δόμον· ᾧ ἔνι δαῖτας
αἰὲν ἐμοῖς ἑτάροισιν ἅδην θυμαρέας ἀξῶ·
εἶπεν ὁ παῖς. νέμεσις δὲ κακὰν ἐγράψατο φωνάν.
Δαμάτηρ δ' ἄφατόν τι κοτέσσατο· γείνατο δ' ἁ θεῦς
ἴθματα μὲν χέρσῳ· κεφαλὰ δέ οἱ ἅψατ' ὀλύμπῳ
οἱ μὲν ἄρ ἡμιθνῆτες ἐπεὶ τὰν πότνιαν εἶδον
ἐξαπίνης ἀπόρουσαν ἐνὶ δρυσὶ χαλκὸν ἀφέντες
ἁδ' ἄλλους μὲν ἔασεν. ἀναγκαίᾳ δ' ἕποντο (Ια
δεσποτικὴν ὑπὸ χεῖρα· βαρὺν δ' ἀμαλέψατ' ἄνακ·
ναὶ ναί. τεύχεο δῶμα κύον κύον. ᾧ ἔνι δαῖτας.

ποιησεῖσ. θαμιναὶ γὰρ ἐσύστερον εἰλαπίναι τοι.
ἃ μὲν τόσσ' εἰποῖσ', ἐρυσίχθονι τεῦχε πονηρά.
αὐτίκα οἱ χαλεπόν τε καὶ ἄγριον ἔμβαλε λιμὸν.
αἴθωνα κρατερόν. μεγάλῃ δ' ἐστρεύγετο νούσῳ.
σχέτλι' ὅσσα πάσαιτο τόσων ἔχεν ἵμερος αὖτις
εἴκατι δαῖτα πένοντο. δυώδεκα δ' οἶνον ἄφυσσον.
τόσσα διόνυσον γάρ. ἃ καὶ δάματρα χαλέπτει.
καὶ γὰρ τᾷ δάματρι συνωργίσθη διόνυσος.
οὔτέ μιν εἰς ἐράνως οὔτε ξυνδείπνια πέμπον
αἰδόμενοι γονέες. προχανὰ δ' εὑρίσκετο πᾶσα.
ἦνθον ἰτωνιάδος μιν ἀθαναίας ἐπ' ἄεθλα
ὁρμενίδαι καλέοντες. ἀπ' ὦν ἠρνήσατο μάτηρ
οὐκ ἔνδοι. χθιζὸς γὰρ ἐπὶ κραννῶνα βέβηκε
τέλθος ἀπαιτήσων ἑκατὸν βόας. ἦνθε πολυξὼ
μάτηρ ἀκτορίωνος ἐπεὶ γάμον ἄρτυε παιδί.
ἀμφότερον τριόπαν τε καὶ υἱέα κικλήσκουσα.
τὰν δὲ γυνὰ βαρύθυμος ἀμείβετο δακρυχέοισα
νεῖταί τοι τριόπας. ἐρυσίχθονα δ' ἤλασε κάπρος
πίνδον ἀν' εὐάγκειαν ὃ δ' ἐννέα φάεα κεῖται.
δειλαία φιλότεκνε. τί δ' οὐκ ἐψεύσαο μᾶτερ.
δαίνυεν εἰλαπίνας τίς; ἐν ἀλλοτρίοις ἐρυσίχθων.
ἄγετό τις νύμφαν, ἐρυσίχθονα δίσκος ἔτυψεν.
ἢ ἔπεσ' ἐξ ἵππων. ἢ ἐν ὄθρυϊ ποίμνι' ἀριθμεῖ.
ἐνδόμυχος δ' ἤπειτα πανήμερος εἰλαπιναστὰς,
ἤσθιε μυρία πάντα. κακὰ δ' ἐξάλλετο γαστὴρ
αἰεὶ μᾶλλον ἔδοντι. τὰ δ' ἐς βυθὸν οἷα θαλάσσης

ἀλεμάτως ἀχάρεισα κατέρρεεν εἴδατα πάντα
ὡς δὲ μίμαντι χιών. ὡς ἀελίῳ ἐνὶ πλάγγων.
καὶ τούτων ἔτι μείζων ἐτάκετο. μέσφ' ἐπὶ νευρᾶς
δειλαίῳ ἶνές τε καὶ ὀστέα μοῦνον ἔλιφθεν.
κλαῖε μὲν ἁ μάτηρ. βαρὺ δ' ἔστενον αἱ δύ' ἀδελφαί
χὠ μαστὸς τὸν ἔπινε. καὶ αἱ δέκα πολλάκι δῶλαι.
καὶ δ' αὐτὸς τριόπας πολιαῖς ἐπὶ χεῖρας ἔβαλλε.
τοῖα τὸν οὐκ ἀΐοντα ποσειδάωνα καλιστρέων.
ψευδοπάτωρ ἴδε τόνδε τεοῦ τρίτον. εἴπερ ἐγὼ μὲν
σεῦ τε καὶ αἰολίδος κανάκης γένος. αὐτὰρ ἐμεῖο
τοῦτο τὸ δείλαιον γένετο βρέφος. αἴθε γὰρ αὐτὸν
βλητὸν ὑπ' ἀπόλλωνος ἐμαὶ χέρες ἐκτερέϊσαν
νῦν δὲ κακὰ βούβροστις ἐν ὀφθαλμοῖσι κάθηται.
ἤ οἱ ἀπόστασον χαλεπὰν νόσον, ἠέ μιν αὐτὸς
βόσκε λαβών. ἁμαὶ γὰρ ἀπηρείκαντι τράπεζαι.
χῆραι μὲν μάνδραι. κενεαὶ δέ μοι αὔλιες ἤδη
τετραπόδων. ἤδη γὰρ ἀπηρνήσαντο μάγειροι.
ἀλλὰ καὶ οὐρῆας μεγάλαν ὑπέλυσαν ἁμαξᾶν.
καὶ τὰν βῶν ἔφαγε τὰν ἑστίᾳ ἔτρεφε μάτηρ.
καὶ τὸν ἀεθλοφόρον καὶ τὸν πολεμήιον ἵππον.
καὶ τὰν αἴλουρον τὰν ἔτρεμε θηρία μικκά.
μέσφ' ὅτε μὲν τριόπαο δόμοις ἐνὶ χρήματα κεῖτο
μῶνοι ἄρ' οἰκεῖοι θάλαμοι κακὸν ἠπίσταντο.
ἀλλ' ὅτε τὸν βαθὺν οἶκον ἀνεξήραινον ὀδόντες,
καὶ τότ' ὁ τῶ βασιλῆος ἐνὶ τριόδοισι καθῆστο.
αἰτίζων ἀκόλως τε καὶ ἔκβολα λύματα δαιτός

δάματερ. μὴ τῆνος ἐμὶν φίλος ὅς τοι ἀπεχθὴς
εἴη, μήδ' ὁμότοιχος ἐμοὶ κακογείτονες ἐχθροί.
εἴπατε παρθενικαὶ καὶ ἐπιφθέγξασθε τεκοῦσαι
δάματερ μέγα χαῖρε. πολύτροφε πουλυμέδιμνε
χ' ὥσαι τὸν κάλαθον λευκότριχες ἵπποι ἄγοντι.
τέσσαρες ὡς ἁμῖν. μεγάλα θεὸς εὐρυάνασσα.
λευκὸν ἔαρ λευκὸν δὲ θέρος καὶ χεῖμα φέροισα·
ἥξει καὶ φθινόπωρον, ἔτος δ' εἰς ἄλλο φυλαξεῖ.
ὡς δ' ἀπεδίλωτοι καὶ ἀνάμπυκες ἄστυ πατεῦμες.
ὡς πόδας ὡς κεφαλὰς παναπηρέας ἕξομες αἰεὶ
ὡς αἱ λικνοφόροι χρυσῶ πλέα λίκνα φέροντι
ὡς ἄμμες τὸν χρυσὸν ἀφειδέα πασαίμεσθα,
μέσφα τὰ τῆς πόλιος πρυτανήϊα τὰς ἀτελέστας
τὰς δὲ τελεσφορίας, ποτὶ τὴν θεὸν ἄχρις ὁμαρτεῖν
αἵτινες ἑξήκοντα κατώτεραι αἵ τε βαρεῖαι.
χ' ἅ τις ἐλειθυίᾳ τείνει χέρα. χ' ἅ τις ἐν ἄλγει.
ὡς ἅλις ὡς αὐτᾶν ἱκανὸν γόνυ ταῖσι δὲ δηὼ
δωσεῖ πάντ' ἐπίμεστα. καὶ ὡς ποτὶ νηὸν ἵκωνται.
χαῖρε θεά. καὶ τάνδε σάω πόλιν. ἔν τ' ὁμονοίᾳ
ἔν τ' εὐηπελίᾳ. φέρε δ' ἀγρόθι νόστιμα πάντα.
φέρβε βόας. φέρβε μᾶλα. φέρβε στάχυν. οἶσε
θερισμόν.
φέρβε καὶ εἰράναν. ἵν' ὃς ἄροσε κεῖνος ἀμάσει.
ἵλαθί μοι τρίλλιστε μέγα κρείουσα θεάων.

τέλος τῶν εὐρισκομένων καλλιμά-
χου ὕμνων.

Εἰς καλλίμαχον.

Ι χνια μαστεύων, ῥυθμίσατο σῶμα πέλωρον
πάνσοφος ἡρακλέους πρίν ποτε πυθαγόρης.
Δ οῦρας ἀλεξάνδρου δ' ἴ ποσοῦς περὶ πίονι νηῷ
δηρὸν ἔην. μεγάλης μνημόσυνον παλάμης.
Καί σεο δ' οἷα λέοντος ὄνυξ, τόδε καλλιμάχ' ἥρως
λείψανον εὐύμνων λαμπρὸν ἔδειξε νόον.
Ως γόνιμον· σοφίην πισούμενον. εἴσιδε τέχνην·
ἀσύχον φωνήν· εὔθεον ἁρμονίην.
Ο κτάκις εἰ δ' ἑκατὸν στίχα βίβλων ὤλεσεν αἰὼν
λευγαλέος. βαιὸν ζῶις τό δ' εὔδυσε μέλος
Α ρχέτυπον τελέθειν θεῖον γένος ἥν τις ἀείδῃ
μορφῆς ὡς πλάσταις κυάνεον βλέφαρον.
Μ ήποτε δ' ἐξαρχοντος ἔοι σπάνις ὑμνοπόλοισι
μολπῆς, χαλκογράφων ξυνὸν ἔθηκε τέχνη.

Λασκάρεως.

ΔΙΟΝΥΣΙΟΥ ΟΙΚΟΥΜΕΝΗΣ ΠΕΡΙΗΓΗΣΙΣ.

ἀ ρχόμενος γαῖάν τε, καὶ εὐρέα
πόντον ἀείδειν,
καὶ ποταμοὺς, πόλιάς τε,
καὶ ἀνδρῶν ἄκριτα φῦλα,
μνήσομαι ὠκεανοῖο βαθυῤ-
ῥόου. ἐν γὰρ ἐκείνῳ
πᾶσα χθὼν, ἅτε νῆσος, ἀπείριτος ἐστεφάνωται.
οὐ μὴν πᾶσα διαπρὸ περίδρομος, ἀλλὰ διαμφὶς
ὀξυτέρη βεβαυῖα, πρὸς ἠελίοιο κελεύθου·,
σφενδόνῃ ἐοικυῖα. μίαν δέ ἑ καί περ ἐοῦσαν,
ἄνθρωποι τειρῆσιν ἐπ' ἠπείροισι δάσαντο.
πρώτην μὲν λιβύην· μετὰ δ' εὐρώπην, ἀσίην τε.
ἀλλ' ἤτοι λιβύη μὲν, ἀπ' εὐρώπης ἔχει οὖρον,
λοξὸν ἐπὶ γραμμῇσι, γάδειρά τε καὶ στόμα νείλου.
ἔνθα βορειότατος πέλεται μυχὸς αἰγύπτοιο.
καὶ τέμενος περίπυστον ἀμυκλαίοιο κανώβου.
εὐρώπην δ' ἀσίης, τάναϊς διὰ μέσσον ὁρίζει.
ὅς ῥά θ' ἑλισσόμενος γαίης διὰ σαυροματάων,
σύρεται ἐς σκυθίην τε καὶ ἐς μαιώτιδα λίμνην
πρὸς βορέην. νότιον δὲ μεσούρειον ἑλλήσποντος.
σῆμα δ' ὑπὲρ τέταται νοτιώτερον ἐς στόμα νείλου
ἄλλοι δ' ἠπείροισι διὰ χθόνα νοσφίζουσιν.
ἰσθμὸς ἄνω τέταται ἕως ὑπέρτερος ἀσίδος αἴης

κασπίης τε μεσηγὺ καὶ εὐξείνοιο θαλάσσης·
κεῖνον δ' εὐρώπης ἀσίης θ' ὅρον ηὐδάξαντο.
ἄλλος δ' αὖ μακρὸς καὶ ἀθέσφατος ἐς νότον ἕρπει
ἀρράβικοῦ κόλποιο καὶ αἰγύπτοιο μεσηγύ.
ὅς ῥά τε νοσφίζει λιβύην ἀσιήτιδος αἴης.
τοῖα μὲν ἀμφ' οὔροισι βροτοὶ διεφημίξαντο.
πάντη δ' ἀκαμάτου φορέεται ῥόος ὠκεανοῖο.
εἷς μὲν ἐών. πολλῇσι δ' ἐπωνυμίῃσιν ἀρηρώς.
ἤτοι ὁ μὲν λοχεροῖο παρ' ἐσχατιὴν ζεφύροιο,
ἄτλας ἑσπέριος κικλήσκεται. αὐτὰρ ὕπερθεν
πρὸς βορέην, ἵνα παῖδες ἀρειμανέων ἀριμασπῶν
πόντον μιν καλέουσι πεπηγότα τε κρόνιόν τε.
ἄλλοι δ' αὖ καὶ νεκρὸν ἐφήμισαν, εἵνεκ' ἀφαυρῶς
ἠελίου. βράδιον γὰρ ὑπεὶρ ἅλα τήνδε φαείνει.
αἰεὶ δὲ σκιερῇσι παχύνεται ἐν νεφέλῃσιν.
αὐτὰρ ὅθι πρώτιστα φαείνεται ἀνθρώποισιν,
ἠῷον καλέουσι καὶ ἰνδικὸν οἶδμα θαλάσσης.
ἄγχι δ' ἐρυθραῖόν τε καὶ αἰθιόπιον καλέουσι,
πρὸς νότον. ἔνθα δὲ πολλὸς ἀοικήτου χθονὸς αὐ-
ἐκτέταται, μαλεροῖσι κεκαυμένος ἠελίοισιν. (λων
οὕτως ὠκεανὸς περιδέδρομε γαῖαν ἅπασαν,
τόσσος ἐὼν καὶ τοῖα μετ' ἀνδράσιν οὔνομαθ' ἕλκων,
κόλπους δ' ἔνθα καὶ ἔνθ' ἀπερεύγεται ἔνδοθι βάλ-
εἰς ἅλα. τυτθοὺς μὲν πολέας. πίσυρας δὲ μεγίστους
ἤτοι μὲν πρώτιστον, ὃ ἑσπερίην ἅλα τίκτει.
συρόμενος λιβύηθεν ἔσω παμφυλίδος αἴης.

δεύτερος

δεύτερος αὖτ' ὀλίγος μὲν, ἀτὰρ προφερέστατος ἄλ-
ὅστ' ἀποκιδνάμενος κρονίης ἁλὸς ἐκ βορέαο, (λων·
κασπίην αἰπὺ ῥέεθρον ἐπιπροΐησι θαλάσσῃ.
ἥν τε καὶ ὑρκανίην ἕτεροι διεφημίξαντο.
τῶν δ' ἄλλων, οἵτ' εἰσὶν ἀπ' αὖ νοτίης ἁλὸς ἄμφω,
εἷς μὲν ἀνώτερός ἐστι τὸ περσικὸν οἶδμα προχέων
ἀντία κασπίης τετραμμένος ἀμφιτρίτης.
ἄλλος δ' ἀῤῥάβιος κυμαίνεται ἐσύθι κόλπος
εὐξείνου πόντου νοτιώτερον ὁλκὸν ἑλίσσων·
τόσσοι μὲν κόλποι βαθυκύμονος ὠκεανοῖο,
οἱ μείζους· ἄλλοι δὲ τ' ἀπειρέσιοι γεγάασι.
νῦν δ' ἁλὸς ἑσπερίης ἐρέω πόρον, ἥτ' ἐπὶ πάσας
ἠπείρους λοξοῖσιν ἐπιστρέφεται πλάγεσσιν·
ἄλλοτε μὲν νήσοισι περίδρομος. ἄλλοτε δ' αὖτε
ἢ ὀρέων ἢ πέζαν ὑποξύουσα πολήων.
ὑμεῖς δ' ὦ μοῦσαι σκολιὰς ἐνέποιτε κελεύθους
ἀρξάμεναι στοιχηδὸν ἀφ' ἑσπέρου ὠκεανοῖο.
ἔνθα τε καὶ στῆλαι περὶ τέρμασιν ἡρακλῆος,
ἑστᾶσιν. (μέγα θαῦμα.) παρ' ἐσχατόωντα γάδειρα
μακρὸν ὑπὸ πρηῶνα πολυσπερέων ἀτλάντων.
ἧχί τε καὶ χάλκειος ἐς οὐρανὸν ἔδραμε κίων,
ἠλίβατος. πυκινοῖσι καλυπτόμενος νεφέεσσι
πόντος μὲν πρώτιστος ἰβηρικὸς ἀρχομένοισιν
ἐκκέχυται. ὅς πέρ τε καὶ εὐρώπης πέλει ἀρχὴ,
καὶ λιβύης· μέσσος γὰρ ἑλίσσεται ἀμφοτεράων·
στῆλαι δ' ἔνθα καὶ ἔνθα παρ' ἀμφοτέρῃσι κέονται.

ἡ μὲν, ἐπ' εὐρώπην, ἡ δ' ἐς λιβύην ὁρόωσα.
τὸν δὲ, μετεκδέχεται γαλάτης ῥόος. ἔνθα τε γαῖα
μασσαλίη τετάνυσται ἐπίστροφον ὅρμον ἔχουσα
ἑξείης δ' ἐπὶ τοῖσι, λιγυστιὰς ἕλκεται ἅλμη.
ἔνθ' ἰταλῶν υἷες ἐπ' ἠπείροιο νέμονται,
ἐκ διὸς αὐσονίηος, ἀεὶ μέγα κοιρανέοντες.
ἀρξάμενοι βορέηθεν ἔσω λευκὴν ἐπὶ πέτραν.
ἥ ῥά τε σικελίης ἐπὶ πορθμίδος ἐρρίζωται.
ἑξείης δ' ἐπὶ κύρνον ἐρεύγεται ἁλμυρὸν ὕδωρ.
τῇ δ' ἔπι, σαρδόνιος μορμύρεται ἐνδύθι πόντος
τὸν δὲ μετεκδέχεται τυρσηνίδος οἶδμα θαλάσσης
πρὸς νότον. αὐτὰρ ἔπειτα πρὸς αὐγὰς ἠελίοιο
κυρτὸς ἐπιστρέφεται σικελὸς ῥόος. αὐτὰρ ἔνερθεν
ἐκκέχυται καὶ μέχρι πολυκλύστοιο παχύνου,
καὶ κρήσσης ἄκρης. ἥτ' εἰς ἅλα πουλὺ νένευκε
πάρθ' ἱερὴν γόρτυναν, ἢ ἠπειρώτιδα φαιστόν.
προπρηνὴς κριοῖο παραυγάζουσα κάρηνον.
τούνεκά μιν καὶ κριοῦ ἐφημίξαντο μέτωπον·
ναὶ μὴν καὶ τετάνυσται ἰηπυγίην ἐπὶ γαῖαν.
κεῖθεν δ' εὐρυνθεῖσα, πιαίνεται ἀδριὰς ἅλμη,
πρὸς βορέην. αὖθις δὲ πρὸς ἑσπέριον μυχὸν ἕρ-
ἥν τε καὶ ἰονίην περιναιέται ἠυδάξαντο. (πει.
δισσὰς δ' ἠπείρους ἀποέργεται. ἐς μὲν ἰόντι,
δεξιτερὴν κατὰ χεῖρα φαείνεται ἰλλυρὶς αἶα.
δαλματίη δ' ἐφύπερθεν ἐνυαλίων πέδον ἀνδρῶν
σκαιῇ δ' αὐσονίων παρατέταται ἄσπετος ἰσθμὸς

πουλυτενής. τριχθῆσι περίδρομος ἀμφιτρίταις.
τυρσηνῇ, σικελῇ τε, καὶ ἀδριάδι πληθούσῃ.
ἡ μία δ᾽ εἰς ἄνεμον τεκμαίρεται ὁλκὸν ἑκάστη.
τυρσηνὴ ζέφυρον. σικελὴ νότον. ἀδριὰς εὖρον.
αὐτὰρ ὑπὲρ σικελῆς χθονὸς ἕλκεται οἶδμα κυ-
πόντ᾽ ἔσω λιβύης νοτίην ἐπὶ σύρτιν ἑλίσσον (ῥύας,
τὴν ἑτέρην, ἥν πέρ τε καὶ εὐρυτέρην ἐνέπουσιν.
ἄλλη δ᾽ ἥ πως ἀφαυρὸν ἔχει πόρον ἔνδον ἐοῦσα,
τηλόθεν ἀρχομένην δέχεται πλημμυρίδα πόντου
ὡς οἱ μὲν, βοόωσιν ἑλισσόμενοι δύο κόλποι,
ἐκ δ᾽ ὀρέων σικελῶν, κρήτης ἀναπέπταται οἶδμα
μακρὸν ἐπ᾽ ἀντολίην σαλμωνίδος ἄχρι καρήνου.
ἣν κρήτης ἐνέπουσιν ἑῷον ἔμμεναι ἄκρην.
δοιαὶ δ᾽ ἑξείης προτέρῳ φρίσσουσι θάλασσαι,
ἰσμαρικοῦ πνοιῇσιν ἐλαυνόμεναι βορέαο,
ὀρθὸν φυσιόωντος. ἐπεὶ κατεναντία κεῖνται.
ναῦται δὲ πρώτην φαρίην ἅλα κικλήσκουσιν
ὑσταγνὲς πρηῶνα τιταινομένην κασίοιο
σιδονίην δ᾽ ἑτέρην, ὅθι τέμνεται ἐς μυχὰ γαίης
ἰσσοῦ ἄχρι πόληος κιλίκων χώραν παραμείβων.
ἰσσικὸς ἑλκόμενος βορέην ἔπι κόλπος ἀπείρων.
οὐ μὲν πολλὸν ἄνευθεν ἰσόδρομος. ἄγχι δ᾽ ἤδη
ὑπ᾽ ἀπλῆσι δνοφερῇ κιλίκων ἀποπαύεται αἴης.
τῆμος δ᾽ ἐπὶ ζέφυρον στρεπτὴν ἀπερεύγεται ἅλμην
ὥς τε δράκων βλοσυρωπὸς ἑλίσσεται ἀσκύλος ἑρπ-
νωθὴς, τῷ δ᾽ ὑπὸ πᾶσα βαρύνεται οὔρεος ἄκρη

ἐρχομένῳ, τοῦ κεῖνος ἐλίσσεται εἰν ἁλὶ κόλπος
νήχυτος· ἔνθα καὶ ἔνθα βαρυνόμενος προχέῃσι.
τοῦ, μὲν ὑπὸ προβολῇ παμφύλιοι ἀμφινέμονται.
ὅσσον ὑπὲρ προβέβηκε χελιδονίων μυχὰ νήσων.
σῆμα δ' ἔχει ζεφύρου παταρηΐδα τηλόθεν ἄκρην
φράζεο δ' ἐκείνου τετραμμένος αὖθις ἐπ' ἄρκτους
αἰγαίου πόντοιο πλατὺν ῥόον· ἔνθά τε κῦμα
ῥησσόμενον νήσοισι περιβρέεται σποράδεσσιν.
οὐ γάρ τις κείνῳ ἐναλίγκια κύματ' ὀφέλλει.
ὑψόθι μορμύρων ἕτερος πόρος ἀμφιτρίτης.
οὖρον δ' ἐς τένεδον τεκμαίρεται ἐσχατόωσαν,
ἴμβρον ἔχων ἑτέρωθεν· ὅθεν στεινὸς ἔρχεται αὐλὼν
συρόμενος βορέηνδε προποντίδος ἔνδοθι πάσης
τῇ δ' ὕπερ ἄσπετα φῦλα τιταίνεται ἀσίδος αἴης
πρὸς νότον. ἠπείρου τ' ἐπὶ πλατὺς ἔρχεται ἰσθμὸς
τῇ δ' ἐπὶ θρηϊκίου στόμα βοσπόρου· ὃν πότ' ἰνὼ
ἤρης ἐννεσίῃσιν ἀνήξατο πόρτις ἐοῦσα.
στεινότατος δὴ κεῖνος ἁπάντων ἔπλετο πορθμὸς
τῶν ἄλλων, οἵ τ' εἰσὶ πολυκλύστοιο θαλάσσης.
κυανέας ὅθι μῦθος ἀναιδέας εἰν ἁλὶ πέτρας
πλαζομένας καναχηδὸν ἐπ' ἀλλήλῃσι φέρεσθαι.
ἐκ δὲ τοῦ, οἰγόμενος παραπέπταται ἐγγύθι πόντος
πολλὸς ἐών, καὶ πολλὸν ἐπ' ἀντολίης μυχὸν ἕρπων
τοῦ δ' ἤτοι λοξαὶ μὲν ἐπιτροχάουσι κέλευθοι
αἰεὶ πρὸς βορέην τε καὶ ἀντολίην ὁρέωσαι.
μέσσαι δ' ἔνθα καὶ ἔνθα δύο ἀνέχουσι κολῶναι,

ἡ μὲν, ὑπὸ νοτίην· τήν, τε καλέουσι κάραμβιν·
ἡ δὲ, βορειοτέρη γαίης ὕπερ εὐρωπείης.
τὴν ἔχ' περικτίονες κριοῦ καλέουσι μέτωπον·
αἵτ' ἄμφω ξυνίασιν ἐναντίαι. οὐ μὲν ἐοῦσαι
ἐγγύθεν. ἀλλ' ὅσον ὁλκὰς ἐπὶ τρίτον ἦμαρ ἀνύσσαι
ἐκ τοῦ δ' αὖ καὶ πόντον ἴδοις διθάλασσον ἐόντα
τόρνῳ εἰδόμενον περιηγέος ἄμματι τόξου.
ἀλλ' εἴη νευρῆς σημήϊα δεξιὰ πόντου,
ἰθὺ, διαγραφθέντα. μέση δ' ἔστι κάραμβις
γραμμῆς ἐκτὸς ἐοῦσα καὶ ἐς βορέην ὁρόωσα.
σῆμα δ' ἔχει κεράων σκαιὸς πόρος. ὅστ' ἐπὶ δισσὸν
εἰλεῖται στροφάλιγγα βιοῦ κεράεσσιν ἐοικώς.
τοῦ καὶ πρὸς βορέην μαιώτιδος ὕδατα λίμνης
ἐκκέχυται. τῇ μέν τε πέρι σκύθαι ἀμφινέμονται
ἄνδρες ἀπειρέσιοι. καλέουσι δὲ μητέρα πόντου.
ἐκ τῆς γοῦν πόντοιο μυρίον ἕλκεται ὕδωρ
ὀρθὸν κιμμερίου διὰ βοσπόρου. ᾧ πάρα πολλοὶ
κιμμέριοι ναίουσιν ὑπὸ ψυχρῷ ποδὶ ταύρου.
τοίη μὲν μορφὴ κυαναυγέος ἀμφιτρίτης.
νῦν δέ τοι ἠπείρου μυθήσομαι εἶδος ἁπάσης.
ὄφρα καὶ οὐκ ἐσιδών περ ἔχοις εὔφραστον ὀπωπὴν
ἐκ τοῦ δ' αὖ γεραρός τε καὶ αἰδοιέστερος εἴης,
ἀνδρὶ περ ἀγνώσσοντι πιφασκόμενος τὰ, ἕκαστα
ἤτοι μὲν λιβύη τετανυσμένη ἐς νότον ἕρπει.
ἐς νότον. ἀντολίην τε, τραπεζίῳ εἶδος ὁμοίη.
ἀρξαμένη πρώτιστα γαδειρόθεν. ἧχί περ ἄκρη

εἰς μυχὸν ἐξωσθεῖσα τιταίνεται ὠκεανοῖο.
οὖρον δ' ἀῤῥαβίης τεκμαίρεται ἄχρι θαλάσσης
εὐρύτερον· τόθι γαῖα κελαινῶν αἰθιοπήων,
τῶν ἑτέρων· τῶν, ἄγχι τιταίνεται οὖδας ἐρεμβῶν.
παρδαλέῃ δέ μιν ἄνδρες ἐπικλείουσιν ὁμοίην.
ἡ γὰρ διψηρή τε καὶ αὐχμήεσσα τέτυκται.
τῇ καὶ τῇ κυανῇσι κατάστικτος φολίδεσσιν.
ἀλλ' ἤτοι πυμάτην μὲν ἐπὶ γλωχῖνα νέμονται
ἀγχοῦ στηλάων μαυρουσίδος ἔθνεα γαίης.
τοῖσιν ἐπὶ νομάδων παραπέπταται ἄσπετα φῦλα
ἔνθα μασαισύλιοί τε καὶ ἀγρόνομοι μασυλῆες,
βόσκονται σὺν παισὶν ἀν' ἤπειρόν τε καὶ ὕλην.
μαιόμενοι βιότοιο κακὴν καὶ ἀεικέα θήρην.
οὐ γὰρ γειομόροιο τομὴν ἐδάησαν ἀρότρου.
κείνοις δ' οὔποτε τερπνὸς ἀκούεται ὁλκὸς ἀμάξης
οὐδὲ βοῶν μυκηθμὸς ἐς αὔλιον ἐρχομενάων.
ἀλλ' αὔτως ἅτε θῆρες ἀνὰ δρία βουκολέονται.
νήϊδες ἀσταχύων καὶ ἀπευθέες ἀμήτοιο.
τοῖς δ' ἐπὶ καρχηδὼν πολυήρατον ἀμπέχει ὅρμον.
καρχηδὼν, λιβύων μὲν, ἀτὰρ πρότερον φοινίκων.
καρχηδὼν, ἣν μῦθος ὑπαὶ βοῒ μετρηθῆναι.
ἑξείης δ' ἐπὶ σύρτιν ἀγάῤῥοον ὁλκὸν ἑλίσσει
βαιοτέρην, μετὰ τήνδε πρὸς αὐγὰς ἔρχεται ἄλλη
ἄσπετος εὐρυτέρῃσι βαρυνομένη προχοῇσι.
ἔνθα κορυσσομένης τυρσηνίδος ἀμφιτρίτης,
ἄλλοτε μὲν πλημμυρὶς ἐγείρεται· ἄλλοτε δ' αὖτε

ἄμπω τις ξηρῇσιν ἐπιβροχάει ψαμάθοισι·
τάων δ' ἀμφοτέρων μεσάτη πόλις ἐστήρικται·
ἣν ῥά τε κικλήσκουσι νέην πόλιν. ἧς ὑπὲρ αἶαν,
λωτοφάγοι ναίουσι φιλόξεινοι, γεγαῶτες·
ἔνθα ποτ' αἰολόμητις ἀλώμενος ἤλθεν ὀδυσσεύς.
κεῖνον δ' αὖ περὶ χῶρον ἐρημωθέντα μέλαθρα
ἀνδρῶν ἀθρήσειας ἀποφθιμένων νασαμώνων.
οὓς διὸς οὐκ ἀλέγοντ' ἀπώλεσεν αὐσονὶς αἰχμή.
ἀσβύσται δ' ἐπὶ τοῖσι μεσήπειροι τελέθουσι.
καὶ τέμενος λιβυκοῖο θεοῦ ψαμάθῳ ὑπὸ πολλῇ·
κυρήνη τ' εὔιππος ἀμυκλαίων γένος ἀνδρῶν·
ἄγχι δὲ μαρμαρίδαι προνενευκότες αἰγύπτοιο
γαιτῆλοιτ' ἐφ' ὕπερθε καὶ ἀγχίγυιοι νίγρητες
ἑξείης δ' αὐτοὶ τοῖς φαυρούσιοι· ὧν ὑπὲρ αἶαν
ναίουσιν γαράμαντες ἀπείρεες· ἐν δὲ μυχοῖσι
βόσκοντ' ἠπείροιο πανύστατοι αἰθιοπῆες
αὐτῷ ἐπ' ὠκεανῷ πυμάτης παρὰ τέμπεα κέρνης.
τῆς πρὸς αἰθαλέων βλεμύων ἀνέχουσι κολῶναι
ἔνθεν ποταμοῖο κατέρχεται ὕδατα νείλου.
ὃς δή τοι λιβύηθεν ἐπ' ἀντολίην πολὺς ἕρπων,
σίρις ὑπ' αἰθιόπων κικλήσκεται. οἱ δὲ συήνης
ἐνναέται, στρεφθέντα μετ' οὔνομα νεῖλον ἔθεντο.
κεῖθεν δ' ἐς βορέην τετανυσμένος ἄλλυδις ἄλλῃ,
ἑπτὰ διὰ στομάτων ἑλιγμένος εἰς ἅλα πίπτει
ὕδασι πιαίνων λιπαρὸν πέδον αἰγύπτοιο.
οὐ γάρ τις ποταμῶν ἐναλίγκιος ἔπλετο νείλῳ.

οὔτ' ἰλὺν βαλέειν, οὔτε χθονὸς ὄλβον ἀέξειν.
ὅς ῥά τε καὶ λιβύην ἀποτέμνεται ἀσίδος αἴης.
ἐς λίβα μὲν λιβύην, ἐς δ' αὐγὰς, ἀσίδα γαῖαν.
τῷ, περιναιετάουσιν ἀριπρεπέων γένος ἀνδρῶν,
οἳ πρῶτοι βιότοιο διεστήσαντο κελεύθους.
πρῶτοι δ' ἱμερόεντος ἐπειρήσαντ' ἀρότρου.
καὶ σπόρον ἰθυτάτης ὑπὲρ αὔλακος ἁπλώσαντο
πρῶτοι δὲ γραμμῇσι πόλον διεμετρήσαντο
θυμῷ φρασσάμενοι λοξὸν δρόμον ἠελίοιο.
τῶν δὲ κεν αὐδήσαιμι καὶ αὐτῆς πείρατα γαίης
καὶ μορφήν, οὐ μὲν γὰρ ὀλίζονος ἔμμορε τιμῆς.
οὐδὲ μὲν οὐδ' ὀλίγη μέγεθος πέλει· ἀλλά τις ἄλλη
εὔβοτος εὐλείμων τε καὶ ἀγλαὰ πάντα φέρουσα
σχῆμα μὲν οὖν τρισσῇσιν ἀεὶ πλευρῇσι βέβηκεν.
εὐρὺ μὲν ἀμφ' ἀκτὰς βορεήτιδας· ὀξὺ δ' ἐπ' ἠῶ.
ἑλκόμενον καὶ μέχρι βαθυκρήμνοιο συήνης.
οὔρεσιν ἀμφοτέροισιν περισκεπέεσιν ὀρυμνόν.
τῆς μέσα καλλιρόοιο κατέρχεται ὕδατα νείλου.
καὶ τὴν μὲν πολλοί τε καὶ ὄλβιοι ἄνδρες ἔχουσιν.
ἡ μὲν ὅσοι θήβην ἱερὴν κυδίαν ναιετάουσι.
θήβην ὠγυγίην ἑκατόμπυλον. ἔνθα γεγωνὼς
μέμνων ἀντέλλουσαν ἑὴν ἀσπάζεται ἠῶ
ὅσοι θ' ἑπτάπολιν μεσάτην ἤπειρον ἔχουσιν.
ἠδ' ὅσοι νοτόρῃσιν ἐπ' ἠϊόνεσι θαλάσσης,
παραλίην ναίουσιν ἔσω σιρβωνίδος ἅλμης.
τῆς, πρὸς μὲν ζεφύροιο, μακηδόνιον πτολίεθρον

ἔνθα σινωπίταο διὸς μεγάλοιο μέλαθρον
χρυσῷ τιμήεντι κεκασμένον· οὐκ ἂν ἐκείνου
νηὸν ἐν ἀνθρώποισι θεώτερον ἄλλον ἴδοιο.
οὐδὲ μὲν ἀφνειὴν ἑτέρην πόλιν, ᾗχι περ ἄκραι
φαίνονται σκοπιαὶ παλλωΐδος εἰδοθεείης.
τὴν δὲ, μετ' ἀντολίην δὲ παρὰ κασιώτιδα πέζαν,
πηλῆος πτολίεθρον ἐπώνυμον ἄνδρες ἔχουσι·
ἔξοχα ναυτιλίης δεδαημένοι. οὐ μὲν ἐκεῖνοι
ἄνδρες ἐν λιβύεσσιν ἀρίθμιοι· ἢ γὰρ ἐς αὐγὰς
ἑπταπόρου νείλοιο κεκασμένον ἔλαχον ἄστυ.
ἄλλοι δὲ πλεῖστοι τήνδε χθόνα ναιετάουσιν.
οἱ μὲν, ἐπ' ὠκεανῷ· οἱ δ' ἠπείρους ἀνὰ μέσσας.
οἱ δ' ἀμφ' εὐρείης τριτωνίδος ὕδατα λίμνης.
ἥτε μέση λιβύης ἀμφέλκεται εὐρέα κόλπον.
τοίη μὲν λιβύης μορφὴ καὶ σχῆμα τέτυκται.
εἰ δὲ καὶ εὐρώπης ἐθέλεις τύπον, οὔ σε κεύθω.
ὡς γὰρ τῆς λιβύης ῥυσμὸς πέλει, ἀλλά μετ' ἄρκτους
ἔστραπται· καὶ τοῖον ἐπ' ἀντολίην πάλιν ἕρπει
ὅσον καὶ λιβύης νοτίης ἐπὶ τέρμα βέβηκεν.
ἄμφω δ' ἶσον ἔχουσιν ἐπ' ἀσίδα νείατον ἴχνος.
ἡ μὲν, πρὸς βορέαν· ἡ δ' ἐς νότον· εἰ δέ κε θείης
ταύτας ἀμφοτέρας γαῖαν μίαν, ἥκεν ἐπιπρὸ
σχῆμα πέλοι κώνου πλευρῆς ἶσον ἀμφοτέρησιν.
ὀξὺ μὲν ἑσπέριον· πλατὺ δ' ἀντολίην ὑπὸ μέσσην
τούνεκά μοι τοιοῦτον ἰδὼν πόρον ἀμφοτεράων
ἠπείρων, ῥέα τέρμα κιχήσεαι εὐρωπείης.

τῆς ἤτοι πυμάτην μὲν ὑπὸ γλωχῖνα νέμονται
ἀγχοῦ στηλάων, μεγαθύμων ἔθνος ἰβήρων
μῆκος ἐπ' ἠπείροιο τεταμμένον, ἧχι βορείου
ὠκεανοῦ ψυχρὸς κέχυται ῥόος, ἔνθα βρετανοὶ
λευκά τε φῦλα νέμονται ἀρειμανέων γερμανῶν
ἑρκυνίου δρυμοῖο παραθρώσκοντες ὀρόγκους.
ἤπειρον κείνην ἰκέλην ἐνέπουσι βοείῃ.
τοῖς δ' ἐπὶ πυρηναῖον ὄρος καὶ δώματα κελτῶν
ἀγχόθι πηγάων καλλιρόου ἠριδανοῖο.
οὗ ποτ' ἐπὶ προχοῇσιν ἐρημαίην ἀνὰ νύκτα
ἡλιάδες κώκυσαν ὀδυρόμεναι φαέθοντα.
κεῖθι δὲ κελτῶν παῖδες ὑφήμενοι αἰγείροισι
δάκρυ' ἀμέλγονται χρυσαυγέος ἠλέκτροιο.
τὸν δὲ μεθ' ἑξείης τυρσηνίδος ἤθεα γαίης.
τοῦ δὲ πρὸς ἀντολίην ἀναφαίνεται ἄλπιος ἀρχὴ
τοῦ δὴ μεσσατίης κατασύρεται ὕδατα ῥήνου.
ὑστάτιον ποτὶ χεῦμα βορειάδος ἀμφιτρίτης.
ῥήνῳ δ' ἑξείης ἐπιτέλλεται ἰδρὸς ἴστρος.
ἴστρος ἐς ἀντολίην τεταμμένος ἄχρι θαλάσσης.
εὐξείνου· τόθι πᾶσαν ἐρεύγεται ὕδατος ἄχνην.
πενταπόροις προχοῇσιν ἑλισσόμενος κατὰ πεύκην.
τοῦ μὲν πρὸς βορέην τετανυσμένα φῦλα νέμονται
πολλὰ μάλ' ἑξείης μαιώτιδος ἐς στόμα λίμνης.
γερμανοί, σαρμάται τε, γέται θ' ἅμα βαστάρναι τε
δακῶν δ' ἄσπετος αἶα καὶ ἀλκήεντες ἀλανοί.
ταῦροι θ' οἳ ναίουσιν ἀχιλλῆος δρόμον αἰπύν.

στεινὸν ὁμοῦ δολιχόν τε καὶ αὐτῆς ἐς στόμα λίμνης
τῶν δ' ὑπερεκτέταται πολυΐστορων φῦλον ἀλανῶν
ἔνθα μελάγχλαινοί τε καὶ ἀνέρες ἱππημολγοί.
νευροί θ' ὑππόποδές τε γελωνοί τ' ἠδ' ἀγάθυρσοι
ἧχι βορυσθένεος ποταμοῦ τετανυσμένον ὕδωρ,
μίσγεται εὐξείνου κελοῦ προπάροιθε μετώπου,
ὀρθὸν ἐπὶ γραμμαῖς κατεναντία κυανέων·
κεῖθι καὶ ἀλδήσκοιο καὶ ὕδατα παντικάπαο·
ῥιπαίοις ἐν ὄρεσσι διάνδιχα μορμύρουσι.
τῷ δὲ, παρὰ προχοῇσι πεπηγότος ἐγγύθι πόντου,
ἡ δυφαὴς ἤλεκτρος ἀέξεται, οἷά τις αὐγή·
μήνης ἀρχομένης. ἀδάμαντά τε παμφανόωντα
ἰλύθεν ἀθρήσειας ἀπὸ ψυχροῖς ἀγαθύρσοις·
ἴστρου μὲν τοσσοίδε βορειότεροι γεγάασι·
πρὸς δὲ νότου γέῤῥαι τε καὶ νωρικὶ ἄστε δρυμνά·
παννόνιοι μυσοί τε βορειότεροι θρηΐκων,
αὐτοί τε θρήϊκες ἀπείρονα γαῖαν ἔχοντες·
οἱ μὲν, ἐπὶ πλευρῇσι προποντίδος ἀμφιτρίτης.
οἱ δ' ὑπὲρ ἑλλήσποντον ἀγάῤῥοον· οἱ δ' ὑπὲρ αὐτοῦ
αἰγαίης βαθὺ κῦμα πολυφλοίσβοιο θαλάσσης.
ἔνθα μελισσοβότοιο κατὰ σκοπιὰς παλλήνης, }
φύεται ἀστέριος καλὸς λίθος οἷά τε ἀστήρ·
μαρμαίρει· λύχνις τε πυρὸς φλογὶ πάμπαν ὁμ
ἴστρον μὲν ποταμὸν, τόσσοι περιναιετάουσι. (οίη·
φράζεο δ' εὐρώπης λοιπὸν πόρον· ὅς τ' ἐπὶ ζιοτὴν
ἐκτέταται κρηπῖδι πρὸς ἠῶ· τὴν μὲν, ἰβήρων.

τὴν δὲ, πανελλήνων, τὴν δ' ἐσθλῶν αὐσονιήων.
ἀλλ' ἤτοι πυμάτη μὲν ἀγαυῶν ἐστὶν ἰβήρων.
γείτων ὠκεανοῖο πρὸς ἑσπέρου. ἐν δέ οἱ ἄκρῃ
στηλάων ἀλύβη κεῖται μία. τῆς δ' ὑπένερθεν,
ταρτησσὸς χαρίεσσα· ἐυηφενέων πέδον ἀνδρῶν.
κεμψοί θ' οἳ ναίουσιν ὑπαὶ πόδα πυρηναῖον.
μέσση δ' ἀμφοτέρων παραπέπταται αὐσονὶς αἶα
πουλυτελής. τὴν μέν τε μέσην ὄρος ἄνδιχα τέμνει
ὀρθὸν ἅτ' ἐκ στάθμης ἰθυμμένον. οὐκ ἂν ἐκεῖνο
ἴδρις μωμήσαιτο σοφῆς ὑποεργὸς ἀθήνης.
ὅν ῥ' ἀπεννῖνον κικλήσκουσ'. ἐκ δὲ βορείης
ἄλπιος ἐρχόμενον, σικελὴν ἐπὶ πορθμίδα λήγει
πολλὰ δέ οἱ φῦλ' ἀμφίς. τά, τοι ῥέα πάντ' ἀγορεύ
ἀρξάμενος πολυεργῆς ζεφυρείτιδος ἐκ βορέαο. (σω
τυῤῥηνοὶ μὲν πρῶτ' ἐπὶ δὲ σφίσι φῦλα πελασγῶν
οἵ ποτε κυλλήνηθεν ἐφ' ἑσπερίην ἅλα βάντες,
αὐτόθι ναιήσαντο σὺν ἀνδράσι τυρσηνοῖσι.
τοῖς δ' ἐπὶ μέρμερον ἔθνος ἀγαυῶν ἐστι λατίνων
γαῖαν ναιετάοντες ἐπήρατον. ἧς διὰ μέσσης
θύβρις ἑλισσόμενος καθαρὸν ῥόον εἰς ἅλα βάλλει
θύβρις ἐϋῤῥείτης ποταμῶν βασιλεύτατος ἄλλων.
θύβρις, ὃς ἱμερτὴν ἀποτέμνεται ἄνδιχα ῥώμην.
ῥώμην, τιμήεσσαν ἐμῶν μέγαν οἶκον ἀνάκτων.
μητέρα πασάων πολίων. ἀφνειὸν ἔδεθλον.
τῇ δ' ἐπὶ καμπανῶν ἱερὸν πέδον. ἧχι μέλαθρον
ἁγνῆς παρθενόπης σταχύων βεβριθὸς ἀμάλλαις.

παρθενόπης, ἣν πόντος ἑοῖς ὑποδέξατο κόλποις.
πρὸς δὲ νότον μάλα πολλὸν ὑπὲρ σειρηνίδα πέτρην,
φαίνονται προχοαὶ πευκεντίνου σιλαροῖο.
ἄγχι δὲ λευκανοὶ καὶ βρέττιοι ἄνδρες ἔασι.
τοσσάτιον ναίοντες, ὅσην λευκὴν ἐπὶ πέτρην.
κεῖνο δ' ἐς βορέην ζεφύρου παραφαίνεται ἄκρη.
τῇ δ' ὑπὸ λοκροὶ ἔασιν, ὅσοι προτέροις ἐπ' ἔτεσσιν
ἦλθον ἐπ' αὐσονίην σφετέρῃσι μιχθέντες ἀνάσ-
τῇ, καὶ ναῦ γένος ἐπὶ προχοῇσιν ἄληκος. (σαις.
τοὺς δὲ μεθ' ἑξείης μεταπόντιοι. ἐγγύθι δέ σφεων
ἱμερτὸν πτολίεθρον εὐστεφάνοιο κρότωνος
ναιόμενον χαρίεντος ἐπ' αἰσάρου προχοῇσιν
ἔνθα κεν αἰπὺν ἴδοιο λακινιάδος δόμον ἥρης.
ἔστι δέ τοι καὶ κεῖθι διὸς μέγα χωσαμένοιο
δειλαίη σύβαρις ναέτας στενάχουσα πεσόντας
μνωσαμένους ὑπὲρ αἶσαν ἐπ' ἀλφειοῦ γεράεσσι.
καὶ μακρῶν θοὰ φῦλα. τάρας δ' ἄλλος ἐγγύθι κεῖται
ἣν ποτ' ἀμυκλαίων ἐπολίσσατο καρτερὸς ἄρης.
ἑξείης δ' ἐπὶ τοῖσι καλαβρείδος ἤθεα γαίης.,
φῦλά τε ἰαπύγων τετανυσμένα μέσφ' ὑρείοιο
παραλίης, ὑρίου τόθι σύρεται ἀδριὰς ἅλμη
πόντου ἐς ἀγχίπορον ἀκυλήϊον. ἔνθα νένασται
ἄστυ τε γεστραίων μυχάτοις ἐπὶ πείρασι πόντου.
τόσσα μὲν αὐσονίην περιβόσκεται ἔθνεα γαῖαν.
κεῖθεν δ' εἰς αὐγὰς στρεπτὴν παρισύρεται ἅλμην.
θῖνας ὑποξύουσα λιβυρνίδας, ἀμφί τ' ἐρυμνὴν

ὑλλέων χθόνα πᾶσαν ὅση παρακέκλιται ἰσθμῷ.
βουλιμέων τ' ἀκτή. ἐπὶ δ' ἄπειρον ὁλκὸν ἄγουσα
ἰλλυρικὴ παρὰ χέρσον ἐλίσσεται ἄχρι κολώνης
οὐρέων τ' ἠλιβάτων. τὰ κεραύνια κικλήσκουσι.
κείνου δ' αὖ περὶ κόλπον ἴδοις ἐρικυδέα τύμβον
τύμβον, ὃν ἁρμονίης κάδμοιό τε φῆμις ἐνίσπει
κεῖθι γὰρ εἰς ὀφίων σκολιὸν δέμας ἠλλάξαντο
ὁπποτ' ἀπ' ἰσμηνοῦ λιπαρὸν μετὰ γῆρας ἵκοντο
ἔνθά σφιν τέρας ἄλλο θεοὶ θέσαν· ἀμφὶ γὰρ αἶαν
κείνην ἀμφοτέρωθεν ἐρείδεται δύο πέτραι.
αἵ τ' ἄμφω συνίασι δονεύμεναι, εὖτέ τις ἀρχὴ
γίνεται ἐν ναέτῃσι κυλινδομένοιο κακοῖο.
πρὸς δὲ νότον μάλα πολλὸν ὑπὲρ θρήκην ἐριβώλακ'
ὠρικίην θ' ὑπὲρ αἶαν ἐρείδεται ἑλλάδος ἀρχή.
πολλὸν ἀπειρεσίη δισσῇ ζωσθεῖσα θαλάσσῃ.
αἰγαίη σικελῇ τ' ἄνεμον δέ τοι ἣ λάχ' ἑκάστη
ἑσπέριον σικελή. τόν τε ζέφυρον καλέουσιν.
αἰγαίη δ' εὖρον· πέλοπος δ' ἐπὶ νῆσος ὀπηδεῖ.
εἰδομένη πλατάνοιο μυουρίζοντι πετήλῳ·
ἄκρω μὲν γὰρ ἔοικεν ἐεργόμενος στενὸς ἰσθμός,
πρὸς βορέην. καὶ ξυνὸν ἐφ' ἑλλάδος ἴχνος ἐρείδων
φύλλῳ δ' ἤπειρος πολυδινήτῳ περίμετρος.
κόλποις εἰναλίοισιν ἐστεμμένη ἔνθα καὶ ἔνθα.
τῆς μὲν πρὸς ζέφυρον τελφυλλίδος ἤθεα γαίης
ἔνθ' ἐρατεινότατος ποταμῶν ἀλφειὸς ὁδεύει
χαζόμενος προχοῇσι μεσηνίου εὐρώταο.

οἵ τ' ἄμφω ἀσίηθεν ἀναβλύζουσι ῥέεθρα
ἄλλ' ὃ μὲν, ἠλείων· ὃ δ' ἀμυκλαίων χθόνα τέμνει.
καὶ δὲ μέσην νῆσον κοίλην χθόνα ναιετάουσιν
ἀρκάδες ἀπιδανῆες ὑπὸ σκοπιὴν ἐρυμάνθου.
ἔνθα μέλας· ὅθι κρᾶθις· ἵνα ῥέει ὑγρὸς ἰάων.
ἧχι καὶ ὠγύγιος μηκύνεται ὕδασι λάδων.
ἀγχοῦ δ' ἀργείων ἄροσις καὶ γαῖα λακώνων.
ἡ μὲν, ἐς ἀντολίην, ἡ δ' ἐς νότον ὀρόωσα.
δοιαὶ δ' ἴσθμια νῶτα περὶ βρομέουσι θαλάσσαι.
ἥ τ' ἐφύρης ἀντικρὺ ποτὶ ζόφον. ἥ τε πρὸς αὐγὰς
ἑλκομένη· τὴν πέρ τε σαρωνίδα κικλήσκουσι.
νέρθε γε μὴν ἰσθμοῖο πρὸς αὐγὰς ἀττικὸν οὖδας
τοῦ, διὰ θεσπεσίου φέρεται ῥόος ἰλισσοῖο.
ἔνθεν καὶ βορέης ποτ' ἀνήρπασεν ὠρείθυιαν.
τῷ δ' ἔπι βοιωτῶν τε πέδον καὶ λοκρῶν ἄρουρα
θεσσαλίη δ' ἔπι τοῖσι μακηδονίης τε πόληες.
ταῖς δ' ἔπι φαίνονται κορυφαὶ χιονώδεος αἵμου
θρηϊκίου. τοῦ δ' αὖτε παραὶ ῥιπὴν ζεφύροιο
δωδώνης ἤπειρος ἀπείριτος ἐκτετάνυσται.
τῆς δ' ὑπὲρ ἐς νότον εἰσὶ μετὰ σκοπιὴν ἀρακίνθου
ἀνδρῶν αἰτωλῶν πεδίον μέγα. τοῦ, διὰ μέσσου
σύρεται ὁλκὸν ἄγων ἀχελώϊος ἀργυροδίνης.
ζινακείης ἐπὶ πόντον ἑλισσόμενος διὰ μέσσων
νήσων. ἃς καλέουσιν ἐχινίδας. ἧσιν ὁμούρων
ἔασιν ἄλλυδις ἄλλα κεφαλλήνων πτολίεθρα.
τῷ δ' ἔπι φωκὶς ἄρουρα πρὸς ἀντολίην τε καὶ ἠῶ

ἑλκομένη βορέηνδε κατὰ στόμα θερμοπυλάων
παρνησοῦ νιφόεντος ὑπὸ πτύχα. τῆς δὲ μέσης
κηφισσοῦ μέγα χεῦμα κατερχόμενον κελαρύζει
τῷ, πάρα, πυθῶνος θυόεν πέδον. ἧχι δράκοντος
δελφύνης τριπόδεσσι θεοῦ παρακέκλιται ὁλκός.
ὁλκὸς ἀπειρεσίην ἐπιφρίσσων φολίδεσσιν
νηῷ ἐνὶ ἱμερτῷ. τόθι πολλάκις αὐτὸς ἀπόλλων
ἢ ἀπὸ μιλήτου, ἢ ἐκλάρου αἶψα βεβηκὼς,
ἱστάμενος χρυσέης ἀναλύεται ἅμμα φαρέτρης.
ἀλλ' ὁ μὲν ἰλήκοι. σὺ δέ μοι διὸς ἔννεπε μοῦσα,
νήσων πασάων ἱερὸν πόρον. αἵτ' ἐνὶ πόντῳ
ἀνδράσι φαίνονται τετραμμέναι ἄλλυδις ἄλλαι.
ἤτοι μὲν κατὰ μέσον ὑφ' ἑσπερίων στηλάων,
ἐρχατόωντα γάδειρα φαείνεται ἀνθρώποισι
νήσου ἀπ' ἀμφιρύτης, ἐπὶ τέρμασιν ὠκεανοῖο
ἔνθάδε φοινίκων ἀνδρῶν γένος ἐνναίουσιν,
ἁζόμενοι μεγάλοιο διὸς γόνον ἡρακλῆα.
καὶ τὴν μὲν, ναετῆρες ἐπὶ προτέρων ἀνθρώπων.
κληζομένην κοτίνουσαν, ἐφημίξαντο γάδειρα.
νῆσοι δ' ἑξείης γυμνήσιαι. ἄγχι δὲ βοῦσσος.
σαρδώ τ' εὐρυτάτη, καὶ ἐπήρατος εἰν ἁλὶ κύρνος
ἥν ῥά τε κορσίδα φῶτες ἐπιχθόνιοι καλέουσιν.
ὕλη δ' ἀμφιλαφὴς, οὔ τις τόσον ὅσον ἐκείνῃ.
τῆς δὲ μετ' αἰόλου εἰσὶ περίδρομοι εἰν ἁλὶ νῆσοι,
αἰόλου ἱπποτάδαο φιλοξείνου βασιλῆος,
αἰόλου, ὃς θνητὰ μετ' ἀνδράσιν ἔλαχε δῶρα,

κοιρανίην

κοιρανίην ἀνέμων κλονεόντων θ' ἱσταμένων τε.
ἑπτὰ δ' οἱ λιπαραὶ εἰσὶν ἐπώνυμοι ἀνδράσι πλωταί
οὕνεκα μέσον ἔχουσι περίπλοον ἀμφιέλικτον.
Σικανίη δ' ἐπὶ τῇσιν ὑπὸ πέδον αὐσονιήων,
ἐκτέταται πλευρῇσιν ἐπὶ τρισὶν ἑστηκυῖα.
ἄκρα δέ οἱ πάχυνός τε πελωριάς τε λιλύβη τε.
ἀλλ' ἤτοι λιλύβη μὲν ἐπὶ ῥιπὴν ζεφύροιο
εἰσανέχει· πάχυνος δὲ πρὸς αὐγάς. αὐτὰρ ἐπ'
ἠνεμόεσσα πελωρὶς ἐς αὐσονίην ὁρόωσα (ἄρκτους
τῆς, πρὸς μὲν βορέην, ὀλοὴ ναύτῃσι κέλευθος.
στεινή τε σκολιή τε καὶ ἄσχετος ἠχεῖ θάλασσα
συρομένη, μακρῇσι περιβρέμεται σπιλάδεσσιν.
ἀονίῳ τμηθεῖσα πολυγλώχινι σιδήρῳ.
πρὸς δὲ νότον λιβυκός τε πόρος καὶ σύρτιδος ἀρχὴ
τῆς ἑτέρης. ἑτέρην δ' αὖ ἴδοις προτέρωσε περή-
ἑσπερίην. τῆς πρόσθε δύω νησῖδες ἔασι. (σας,
μήνιξ καὶ κέρκινα λιβυστικὸν ὅρμον ἔχουσαι
ἀλλ' ὁπότ' ἀδριάδος σκαιὸν πόρον ἀμφιζίτης
εἰσελάσῃς ἐπὶ νῆσον ἰηπυγίην ἐπὶ γαῖαν,
δήεις ἰφθίμου διομήδεος αὐτίκα νῆσον.
ἔνθ' ἥρως ἀφίκανε χαλεψαμένης ἀφροδίτης.
ὁππότε ζιλλίστων μετεκίαθεν ἔθνος ἰβήρων.
ἧς ἀλόχου βουλῇσι κακόφρονος αἰγιαλείης.
ἑξείης δὲ πόροιο πρὸς αὐγὰς ἠελίοιο,
ἀψύρτου νήσων ἀναφαίνεται ἄστερος ὁλκός,
τάς ποτε κόλχων υἷες ἐπέδραμον. εὖτ' ἐμόγησαν

ἴχνια μαστεύοντες ἀλήμονος αἰητίνης·
ἑξείης δ' ἄρα τοῖσι λιβυρνίδες ἐῤῥίζωνται.
πρὸς δὲ νότον μετὰ δρυμὰ κεραύνια νηῒ θεούσῃ,
νῆσοι κεν φαίνοιντο περαιόθεν ἀμπρακιήων·
καὶ λιπαρὴ κόρκυρα φίλον πέδον ἀλκινόοιο.
τῇ δ' ἄρα νειακίης ἰθάκης ἕδος ἐστήρικται.
νήσων τ' ἀλλάων ὅσσας τ' ἀπὸ χαλκίδος ἄκρων
δίνης ἀργυρέης ἀχελώϊος ἀμφελίσσει·
πολλαὶ δ' ἀμνισοῖο βορειότεραι ἐρόωνται.
αἴγιλά τ' ἠδὲ κύθηρα καλαβεία τε τρηχεῖα.
κάρπαθος αὖθ' ἑτέρωθι ποτὶ νότον. ἐγγύθι δὲ
κρήτη τιμήεσσα, διὸς μεγάλοιο τιθήνη·(αὐτῆς,
πολλή τε λιπαρή τε καὶ εὔβοτος. ἧς ὕπερ ἴδη.
ἴδη καλλικόμοισιν ὑπαὶ δρυσὶ τηλεθόωσα.
καὶ τῆς τοι μέγεθος περιώσιον· αὐτὰρ δὲ πέζης
αἰγυπτίης, ῥόδος ἐστὶν ἰηλυσίων ἕδος ἀνδρῶν.
τήνδε μετ' ἀντολίην τε, χελιδονιαὶ γεγάασι
τρεῖς νῆσοι μεγάλης παταρηΐδος ἔνδοθεν ἄκρης
κύπρος δ' εἰς αὐγὰς παμφυλίου ἔνδοθι κόλπου
κλύζετ' ἐπήρατον ἄστυ διωναίης ἀφροδίτης.
ἄγχι δὲ φοινίκης ἄραδος μεγάλῳ ἐνὶ πόντῳ.
πρόσθε δὲ σουνιάδος κορυφῆς ἐφ' ὕπερθεν ἀβαίτου
φαίνονται σαλαμίς τε καὶ αἰγίνης πτολίεθρον.
θυνηρὸς δέ τις ἐστὶ βαθὺς πόρος αἰγαίοιο
ἐντὸς ἔχων ἑκάτερθεν ἀπειρεσίων στίχα νήσων.
ὅσσον ἐπὶ στεινωπὸν ὕδωρ ἀθαμαντίδος ἕλλης.

σηστὸς ὅπῃ καὶ ἄβυδος ἐναντίον ὅρμον ἔθεντο.
εὐρώπης δ' αἱ μὲν, λαιῆς ὑπὸ νεύμασι χειρὸς,
ἑῷον θ' ἑξείης ἀσίης δ' αὖθι δεξιᾶ κεῖνται
μῆκος ἐπ' ἀρκτῴοιο τιταινόμεναι βορέαο.
εὐρώπης δ' ἤτοι μὲν ἀβαντιὰς ἔπλετο μάκρις.
σκῦρός τ' ἠνεμόεσσα καὶ αἰπεινὴ πεπάρηθος.
ἔνθεν καὶ λῆμνος κραναὸν πέδον ἡφαίστοιο,
πέπταται. ὠγυγίη τε θάσος δημήτερος ἀκτή.
ἴμβρος θρηϊκίη τε σάμος, κορυβάντιον ἄστυ.
αἳ δ' ἀσίης πρώτην αἶσαν λάχον ἀμφὶς ἐοῦσαι,
δῆλον ἐκυκλώσαντο. καὶ οὔνομα κυκλάδες εἰσί.
ῥύσια δ' ἀπόλλωνι χοροὺς ἀνάγουσιν ἅπασαι
ἀρχομένου γλυκεροῦ νέον εἴαρος, εὖτ' ἐν ὄρεσσιν
ἀνθρώπων ἀπάνευθε κύει λιγύφωνος ἀηδών.
νῆσοι δ' ἑξείης σποράδες περιπαμφανόωσιν.
οἷον ὅτ' ἀννεφέλοιο δι' ἠέρος εἴδεται ἄστρα
ὑγρὰ νέφη κραιπνοῖο τινασσαμένου βορέαο.
ταῖς δ' ἐπὶ νῆσοι ἔασιν ἰωνίδες. ἔνθα δὲ καῦνος
καὶ σάμος ἱμερόεσσα πελασγίδος ἕδρανον ἥρης.
καὶ χίος ἠλιβάτοιο πελινναίου ὑπὸ πέζαν.
κεῖθεν αἰολίδων ἀναφαίνεται ἔργα νήσων.
λέσβον τ' εὐρυχόροιο καὶ ἱμερτῆς τενέδοιο.
κεῖθι μέλας τε κόλπος ἐφ' ἑλλήσποντον ἵησιν
ἀφρὸν ἐρευγόμενος. βορέην δ' αὖθι πολλὸν ἰόντι
πέπταται ἔνθα καὶ ἔνθα προποντίδος οἶδμα θαλάσσ
ἔστι δέ τις καὶ σκαιὸν ὑπὸ πόρον εὐξείνοιο (σης

αὐτὰ Βορυσθένεος πολυώνυμος εἰν ἁλὶ νῆσος
ἡρώων· λευκὴν μιν ἐπωνυμίην καλέουσιν
οὕνεκά οἱ τὰ πρῶτα κινώπετα λευκὰ τέτυκται
κεῖθι δ' Ἀχιλλῆός τε καὶ ἡρώων φάτις ἄλλων
ψυχὰς εἰλίσσεσθαι ἐρημαίας ἀνὰ βήσσας·
τοῦτο δ' ἀριστήεσσι Διὸς πάρα δῶρον ὀπηδεῖ,
ἀντ' ἀρετῆς. ἀρετὴ γὰρ ἐπήρατον ἔλλαχε τιμήν·
Κιμμέριον δ' ἄρα τοι κατὰ Βόσπορον εὐθὺς ἰόντι,
ἄλλη ἀπειρεσίη νῆσος πέλει. ἥ ῥά τε λίμνης
ἔνδοθι δεξιτερῆς Μαιώτιδος ἐστήρικται·
ἧς ἤτοι Φαναγόρη τε καὶ εὔκτιτος Ἑρμώνασσα·
ἔνθα τε ναιετάουσιν Ἰωνίδος ἔκγονοι αἴης·
αἵδε μὲν ἀνθρώποισιν ἀγακλεέες εἰν ἁλὶ νῆσοι·
ἄλλαι δ' Ὠκεανοῖο παρὰ ῥόον ἐστεφάνωνται·
τάων δ' αὖ περίσημον ἐγὼ θέσιν ἐξενέποιμι·
ὁπποτέρου δ' ἀνέμοις παρὰ σφυρόν ἐστιν ἑκάστη
ἤτοι μὲν ναίουσι βοοτρόφον ἀμφ' Ἐρύθειαν,
Ἄτλαντος περὶ χεῦμα θεουδέες Αἰθιοπῆες
μακροβίων υἷες ἀμύμονες. οἵ ποθ' ἵκοντο
Γηρυόνος μετὰ πότμον ἀγήνορος. αὐτὰρ ἐπ' ἄ-
ἱερὴν ἣν ἐνέπουσι κάρην ἔμεν Εὐρωπείης, (κρην
νήσους θ' Ἑσπερίδας, ὅτι κασσιτέροιο γενέθλη
ἀφνειοὶ ναίουσιν ἀγαυῶν παῖδες Ἰβήρων·
ἄλλαι δ' Ὠκεανοῖο παρὰ βορεήτιδας ἀκτὰς,
δισσαὶ νῆσοι ἔασι Βρετανίδες ἀντία ῥήνου·
κεῖθι γὰρ ὑστατίην ἀποερεύγεται εἰς ἅλα δίνην

τάων καὶ μέγεθος περιώσιον· οὐδέ τις ἄλλη
νήσοις ἐν πάσῃσι βρετανίσιν ἰσοφαρίζει.
ἄγχι δὲ νησάων ἕτερος πόρος, ἔνθα γυναῖκες
ἀνδρῶν ἀντιπέρηθεν ἀγαυῶν ἀμνιτάων.
ἐρνύμεναι τελέθουσι κατὰ νόμον ἱερὰ βάκχῳ
στεψάμεναι κισσοῖο μελαμφύλλοιο κορύμβοις,
ἐννύχιαι· παταγῆς δὲ λιγύθροος ὄρνυται ἠχή·
οὐχ οὕτω θρήϊκες ἐπ' ἠϊόσιν ἀψύνθιοι
βιστονίδες καλέουσιν ἐρίβρομον εἰραφιώτην.
οὐδ' οὕτω ξὺν παισὶ μελανδίνην ἀνὰ γάγγην,
ἰνδοὶ κῶμον ἄγουσιν ἐριβρεμέτῃ διονύσῳ,
ὡς κεῖνον κατὰ χῶρον ἀϋτάζουσι γυναῖκες.
πολλὴν δὲ προτέρωσε ταμὼν ὁδὸν ὠκεανοῖο,
νῆσον κεν θούλην εὐεργέϊ νηῒ περήσαις.
ἔνθα μὲν ἠελίοιο βεβηκότος ἐς πόλον ἄρκτων,
ἦμαθ' ὁμοῦ καὶ νύκτας ἀειφανὲς ἐκκέχυται πῦρ.
λοξοτέρην γὰρ τῆμος ἐπιστρέφεται στροφάλιγγι
ἀκτίνων ἰθεῖαν ἠδὲ κλίσιν ἐρχομενάων
μέσφ' ἠδὲ κυανέους νοτίων ὁδὸν αὖτις ἐλάσῃ.
ἀλλ' ὁπόταν σκυθικοῖο βαθὺν ῥόον ὠκεανοῖο
νηῒ τάμῃς, ποτέρω δὲ πρὸς ἠώην ἅλα κάμψης,
χρυσείην τοι νῆσον ἄγει πόρος· ἔνθα καὶ αὐτοῦ,
αἰολίη καθαροῖο φαείνεται ἠελίοιο.
κεῖθεν δὲ στρεφθεὶς νοτίης προπάροιθε κολώνης
αἶψα κεκωλιάδος μεγάλην ἠδὲ νῆσον ἵκοιο
μητέρα ταπροβάνην ἀσιηγενέων ἐλεφάντων.

ἧς ὕπερ οὐρανίησιν ἀειρόμενος στροφάλιγξι,
δινεῖται κατὰ κύκλον ἐν αἰθέρι καρκίνος αἴθων
αὕτη δ' εὐρυτάτη μέγεθος πέλει· ἀμφὶ δὲ πάντη
κήτεα θινὸς ἔχουσιν ἐρυθραίου κατὰ πόντου
οὔρεσιν ἠλιβάτοισιν ἐοικότα. τῶν δ' ὕπερ ἄκρων
τεύχει νώτων περιμήκεος ὁλκὸς ἀκάνθης·
δυσμενέων τοι παῖδες ἐλισσόμενοι περὶ πόντον,
κείνοις ἀντήσειαν ἀλώμενοι. οὐ γὰρ ἐρωή,
λυγρὴ ἐν στομάτεσσιν. ἐπεὶ μέγα χάσμα τέτυκται
πολλάκι δ' αὖ καὶ νῆα σὺν αὐτοῖς ἀνδράσι νηός,
κεῖνα καταβρώξει πελώρια. τοῖς γὰρ ἁλιζόοις
ἐν ἁλὶ καὶ γαίῃ κακὰ μυρία θήκατο δαίμων.
ἔστι δέ τοι προτέρω καρμανίδος ἔκτοθεν ἄκρης
ὤγυγες. ἔνθα τε τύμβον ἐρυθραίου βασιλῆος·
ἐκ τῆς δ' αὖ περάσειας ἐπὶ στόμα περσίδος ἅλμης
ὁρμηθεὶς βορέηνδε· καὶ ἴκαρον εἰσαφίκοιο·
ἴκαρον εἰναλίην. ὅθι ταυροπόλοιο θεοῖο
βωμοὶ κνισήεντες, ἀδευκέα καπνὸν ἔχουσι·
τόσσας μὲν νήσους ἐπιχεῖ ῥόος ὠκεανοῖο
εὐρυπέρας· ἕτεραι δὲ καὶ ἀπειρέσιοι γεγάασιν.
αἱ μὲν, ὅθι προχοῇσι λιβυστίδος ἀμφιτρίτης·
αἱ δ' ἀσίης. αἱ δ' αὖ τε περὶ κλίσιν εὐρωπείης·
ἄλλαι δ' ἄλλοθι νῆσοι ἀπείριτοι· αἱ μὲν, ὑπ' ἀνδρῶν
ναιόμεναι καὶ νηυσὶν ἐπήρατον ὅρμον ἔχουσαι·
αἱ δὲ, βαθύκρημνοί τε καὶ οὐ ναύτῃσιν ἕτοιμαι·
τῶν, οὐ ῥηΐδιόν μοι ἐνισπεῖν οὔνομα πασῶν.

σχῆμα δὲ τριάσσης, ῥυσμὸς πέλει ἀμφοτεράων·
ἠπείρων ἑτέρωθεν ἀλίγκιον εἴδεϊ κώνου
ἑλκόμενον κατὰ βαιὸν ἐπ' ἀντολίης μυχὰ πά-
ἔνθά τε καὶ στῆλαι Θηβαιγενέος Διονύσου, (σης
ἑστᾶσιν πυμάτοιο παρὰ ῥόον ὠκεανοῖο·
ἰνδῶν ὑστατίοισιν ἐν οὔρεσιν· ἔνθά τε γάγγης
λευκὸν ὕδωρ νυσαῖον ἐπὶ πλαταμῶνα κυλίνδει
ἀλλ' οὐ κἀν τόσσον μέγεθος πέλοι ἀσίδος αἴης
οὐδέ μιν εἶδος ἔοικεν ἀλίγκιον. ἐν γὰρ ἐκείναις
ἠπείροις, εἷς πόντος ἀπείριτος ἡγεμονεύει.
ἐν δ' ἀσίῃ, πολὺς ὠκεανός· τισσοὺς γὰρ ἑλίσσων
κόλπους κυμαίνοντας ἐρεύγεται ἔνδοθι βάλλων
περσικόν, ὑρκανίον τε καὶ ἀῤῥάβιον βαθυδίνην.
τοὺς δύο μὲν νοτίους. τὸν δ' ἐς βορέην ὁρόωντα.
εἰς βορέην ὁρόωντα καὶ ἐς λίβα γείτονα πόντου
εὐξείνου· τόθι φῶτες ἀπείριτοι ἀμφινέμονται
μέσσον δ' ἀμφοτέρων χθονὸς ἄσπετος ἰσθμὸς ὁρί
τῇ καὶ τῇ μακροῖσι τιταινόμενος πεδίοισι· (ζει,
μέσσα γε μὴν πάσης ἀσίης ὄρος ἀμφιβέβηκεν.
ἀρξάμενον γαίης παμφυλίδος ἄχρι καὶ ἰνδῶν.
ἄλλοτε μὲν λοξόν τε καὶ ἀγκύλον· ἄλλοτε δ' αὖτε
ἴχνεσιν ὀρθότερον· ταῦρον δέ ἑ κικλήσκουσιν
οὕνεκα ταυροφανές τε καὶ ἐξυκάρηνον ὁδεύει
οὔρεσιν ἐκταδίοισι πολυσχιδὲς ἔνθα καὶ ἔνθα.
ἐκ τοῦ, ἀπειρέσιοι ποταμοὶ καναχηδὰ ῥέουσιν.
οἱ μὲν, πρὸς βορέην· οἱ δ' ἐς νότον· οἱ δ' ἐπὶ ῥιπὴν

εὔρου καὶ ζεφύροιο. τίς ἂν πάντ' οὐνόματ' εἴπῃ.
οὐ μὲν ἐπωνυμίην μίαν λάχεν. ἀλλ' ἐν ἑκάστῃ
οὔνομ' ἔχει στροφάλιγγι· τὰ δ' ἂν κείνοισι μέλοιτο
ἀνδράσιν, οἳ κατὰ χώραν ὁμούριον οἶκον ἔθεντο
νῦν γε μὲν ἔθνεα πάντα διίξομαι ὅσσ' ἀρίδηλα
ἐνναίει. μοῦσαι δ' ἰθύτατον ἴχνος ἄγοιεν.
ἤτοι μὲν λίμνης μαιώτιδος ἄγχι νέμονται,
αὐτοὶ μαιῶταί τε καὶ ἔθνεα σαυροματάων
ἐσθλὸν ἐνυαλίου γένος ἄρεος, ἐκ γὰρ ἐκείνης
ἰφθίμου φιλότητος ἀμαζονίδων ἐγένοντο
τήν ποτε σαυρομάτῃσιν ἐπ' ἀνθρώποισι μίγησαν
πλαγχθεῖσαι πάτρηθεν ἀπὸ προθοοῦ θερμώδοντος
τοιώνδε καὶ παῖδες μεγαλήτορες ἐξεγένοντο,
ὕλην ναιετάοντες ἀπείριτον. ἧς διὰ μέσσης
συρόμενος τάναϊς μαιώτιδος ἐς μυχὰ πίπτει.
ὅστε καὶ εὐρώπην ἀποτέμνεται ἀσίδος αἴης,
ἐς δύσιν εὐρώπην, ἐς δ' αὐγὰς, ἀσίδα γαῖαν.
τοῦ δ' ἤτοι πηγαὶ μὲν ἐν οὔρεσι καυκασίοισι
τηλόθι μορμύρουσιν· ὁ δὲ, πλατὺς ἔνθα καὶ ἔνθα
ἐσσυμένος, σκυθικοῖσιν ἐπιπροχέει πεδίοισι.
τοῦ δ' ἂν κυμαίνοντος ἀπείριτον ἐκ βορέαο,
πηγὰς ἀθρήσειας ὑπὸ κρυμμοῖο παγέντα.
σχέτλιοι, οἳ περὶ κεῖνον ἐν οἰκία χῶρον ἔχουσιν.
αἰεί σφι ψυχρή τε χιὼν κρυμμός τε δυσαής.
καὶ δέ κεν ἐξ ἀνέμων ὁπόταν πλεῖστον κρύος ἔλθῃ
ἢ ἵππους θνήσκοντας ἐν ὀφθαλμοῖσιν ὁρῶνται

ἠὲ καὶ ἡμιόνους. ἢ ἀγραύλων γένος οἰῶν.
οὐδέ μιν οὐδ' αὐτοί κεν ἀπήμαντοι τελέθοιεν
ἄνδρες, οἳ κείνῃσιν ὑπὸ ῥιπῇσι μένοιεν.
ἀλλά γε ἠλάσκουσιν ὑποζεύξαντες ἀπήνας
χώρην εἰς ἑτέρην. λείπουσι δὲ γαῖαν ἀήταις
χειμερίοις. οἵ τέ σφι κακῇ θύοντες ἀέλλῃ,
γαῖάν τε κλονέουσι καὶ οὔρεα πευκήεντα.
τόσσοι μὲν ποταμὸν τάναϊν παραναιετάουσι.
σαυρομάτας δ' ἐπέχουσιν ἐπασσύτεροι γεγαῶτες
σινδοί, κιμμέριοί τε, καὶ οἳ πέλας εὐξείνοιο
κερκέτιοι τ' ὀρέται τε καὶ ἀλκήεντες ἀχαιοί.
τοὺς ποτ' ἀπὸ ξάνθοιο καὶ ἰδαίου σιμόεντος,
πνοιαὶ ἐνοσφίσαντο νότοιό τε καὶ ζεφύροιο.
ἑσπομένους μετὰ δῆριν ἀρηϊπάδῃ βασιλῆϊ.
τοῖς δ' ἔπι ναιετάουσιν ὁμούριον αἶαν ἔχοντες,
ἡνίοχοι ζύγιοί τε πελασγίδος ἔκγονοι αἴης.
πὰρ δὲ μυχὸν πόντοιο μετὰ χθόνα τυνδαριδάων
κόλχοι ναιετάουσι μετήλυδες αἰγύπτοιο
καυκάσου ἐγγὺς ἐόντες. ὃς ὑρκάνιον περὶ πόντον
οὔρεσιν ἠλιβάτοισιν ἀέξεται. ἔνθα τε φᾶσις
κιρκαίου κατὰ νῶτον ἑλισσόμενος πεδίοιο
εὐξείνου ποτὶ χεῦμα θολὴν ἀπερεύγεται ἄχνην
ἀρξάμενος τὸ πρῶτον ἀπ' οὔρεος ἀρμενίοιο.
τῇ δὲ πρὸς ἀντολίην βορέην τ' ἐπικέκλιτ' ἰσθμὸς
ἰσθμὸς κασπίης τε καὶ εὐξείνοιο θαλάσσης.
τῷ δ' ἔπι ναιετάουσιν ἑωθινὸν ἔθνος ἰβήρων.

οἵ ποτε πυρρήνηθεν ἐπ' αὐσονίην ἀφίκοντο
ἀνδράσιν ὑρκανίοισιν ἀπεχθέα δῆριν ἔχοντες·
καὶ καμαριτάων φῦλον μέγα· τοί ποτε βάκχον
ἰνδῶν ἐκ πολέμοιο δεδεγμένοι ἐξείνισσαν,
καὶ μετὰ ληνάων ἱερὸν χορὸν ἐστήσαντο,
ζώματα καὶ νεβρίδας ἐπὶ στήθεσσι βαλόντες,
εὐοῖ βάκχε λέγοντες· ὁ δὲ, φρεσὶ φίλατο δαίμων
κείνων ἀνθρώπων γενεὴν καὶ ἤθεα γαίης.
τοῖς δ' ἐπὶ κασπίη κυμαίνεται ἀμφιτρίτη.
ῥεῖα δέ τοι καὶ τήνδε διαγράψαιμι θάλασσαν
οὐ μὲν ἰδὼν ἀπάνευθε πόρους, οὐ νηὶ περήσας,
οὐ γάρ μοι βίος ἐστὶ μελαινάων ἐπὶ νηῶν,
οὐδέ μοι ἐμπορίη πατρώϊος, οὐδ' ἐπὶ γάγγην
ἔρχομαι· οἷά τε πολλοὶ ἐρυθραίου διὰ πόντου
ψυχῆς οὐκ ἀλέγοντες, ἵν' ἄσπετον ὄλβον ἕλωνται·
οὐδὲ μὲν ὑρκανίοις ἐπιμίσγομαι· οὐδ' ἐρεείνω
καυκασίας κνημῖδας ἐρυθραίων ἀριηνῶν.
ἀλλά με μουσάων φορέει νόος· αἵ τε δύνανται
νόσφιν ἀλημοσύνης πολλὴν ἅλα μετρήσασθαι
οὔρεά τ' ἤπειρόν τε καὶ αἰθερίην ὁδὸν ἄστρων.
ἀλλ' εἴη τοι σχῆμα περίδρομον ἀμφιέλικτον
πάσης κασπίης μεγάλης ἁλός· ἣν καὶ ἐκείνην
νηὶ περήσειας τριτάτης ἐπὶ κύκλα σελήνης
τόσσος οἱ πόρος ἐστὶν ἀμείλιχος. ἂψ δ' μετ' ἄρκτους
ἑλκόμενος, προχοῇσιν ἐπιμίσγεται ὠκεανοῖο.
ἣ δὴ πολλὰ μὲν ἄλλα μετ' ἀνδράσι θαύματ' ἀέξει

φύει μὲν κρύσταλλον· ἴδ' ἠερόεσσαν ἴασπιν
ἐχθρὴν ἐμπούσῃσιν καὶ ἄλλοις εἰδώλοισι·
πάντα δέ τοι ἐρέω, ὅσα μὲν περὶ φῦλα νέμονται
ἀρξάμενος πλευρῆς ζεφυρηΐδος ἐκ βορέαο·
πρῶτοι μὲν σκύθαι εἰσὶν ὅσοι κρονίης ἁλὸς ἄγχι
παραλίην ναίουσιν ἀνὰ στόμα κασπίδος ἅλμης·
οὖννοι δ' ἑξείης· ἐπὶ δ' αὐτοῖς κάσπιοι ἄνδρες·
ἀλβανοί τ' ἐπὶ τοῖσιν ἀρήϊοι· οἵ θ' ὑπὸ γαῖαν
τρηχεῖαν ναίουσι καδούσιοι· ἄγχι δὲ μάρδοι·
ὑρκάνιοί τ' ἄπυροί τ' ἐπὶ δὲ σφίσιν ὁλκὸν ἑλίσσει
μάρδος, δερκεβίων τε καὶ ἀφνειῶν πόμα βάκτρων·
ἀμφοτέρων γε μέσος ἐς ὑρκανίην ἅλα βάλλει.
ἀλλ' ἤτοι βάκτροι μὲν ἐπ' ἠπείροιο νέμονται
χώρην εὐρυτέρην κρημνοῖς ὑπὸ παρνησοῖο·
δερκέβιοι δ' ἑτέρωθεν ἐφ' ὕδασι κασπίοισι·
τῶν δ' ἦ, μετ' ἀντολίην πέρην κελάδοντος ἀράξεω
μασσαγέται ναίουσι βοῶν ἐρυτῆρες ὀϊστῶν.
ἄνδρες. οἷς μήτ' αὖ τις ἐνώ, μήθ' ὅστις ἑταῖρος
ἐμπελάσοι· μάλα γάρ τε κακοξεινότεροι ἄλλων
οὐ γάρ σφιν σῖτος μελίφρονός ἐστιν ἐδωδή.
οὐδὲ μὲν οὐδ' οἶνος μεταδήμιος. ἀλλά γε ἵππων
αἵματι μίσγοντες λευκὸν γάλα δαῖτα τίθενται.
τοῖσι δ' ἔπι πρὸς βορέην χωράσμιοι. οἷς ἐπὶ γαῖα
σουγδιάς. ἧς διὰ μέσσης ἑλίσσεται ἱερὸς ὦξος.
ὅς τε λιπὼν ἠμωδὸν ὄρος, μετὰ κασπίδα βάλλει
τὸν μέτ' ἐπὶ προχοῇσιν ἰαξάρταο νέμονται,

τόξα σάκαι φορέοντες, ἃ μή κέ τις ἄλλος ἑλέσθαι
τοξευτής. οὐ γάρ σφιν θέμις ἀνεμώλια βάλλειν.
καὶ τόχαροι, φρουνοί τε, καὶ ἔθνεα βάρβαρα σηρῶν
οἵ τε βόας μὲν ἀναίνονται καὶ ἴφια μῆλα
αἰόλα δὲ ξαίνοντες ἐρήμης ἄνθεα γαίης,
εἵματα τεύχουσι πολυδαίδαλα τιμήεντα
εἰδόμενα χροιῇ λειμωνίδος ἄνθεσι ποίης
κείνοις, οὔ τί κεν ἔργον ἀραχνάων ἐρίσειεν
ἄλλοι δὲ σκύθαι εἰσὶν ἐπήτριμοι, οἵ τε νέμονται
ἐσχατιάς, τῇ δέ σφι δυσήνεμος ἐκτέταται χθὼν
χειμερίοις ἀνέμοισι κεκλιμένη ἠδὲ χαλάζαις.
τόσσοι μὲν φῶτες περὶ κάσπια κύματ' ἔασι.
φράζεο δ' ἐκ κόλχων καὶ φάσιδος ἐς δύσιν ἤδη,
εὐξείνου παρὰ χεῖλος ἐπιλαδὸν ἔθνεα πόντου,
ἄγχι θρηϊκίου στόματος τόθι χαλκὶς ἄρουρα.
βύζηρές τοι πρῶτα καὶ ἀγχόθι φῦλα βεχείρων
μάκρωνές τε, φίλυρές τε, καὶ οἳ μόσσυνας ἔχουσι
δουρατέους· τῶν δ' ἄγχι πολύρρηνες τιβαρηνοί
τοῖσδ' ἔπι καὶ χάλυβες στυφελὴν καὶ ἀπηνέα γαῖαν
ναίουσι, μογεροῦ δεδαηκότες ἔργα σιδήρου,
οἵ ῥα βαρυγδούποισιν ἐπ' ἄκμοσιν ἑστηῶτες,
οὔ ποτε παύονται καμάτου καὶ ὀϊζύος αἰνῆς.
τούσδε μετ' ἀσσυρείης πρόχυσις χθονὸς ἐκτετάνυ
ἔνθα δ' ἀμαζονίδεσσιν ἀπ' οὔρεος ἀρμενίοιο, (σται
λευκὸν ὕδωρ προΐησιν ἐνυάλιος θερμώδων.
ὅς ποτ' ἀλωομένην ἀσωπίδα δέξατο σινώπην,

καί μιν ἀκηχεμένην, σφετέρῃ προσνάσσατο χώρῃ
Ζηνὸς ἐφημοσύνῃσιν, ὃ γὰρ φιλότητος ἐραννῆς
ἰσχανόων, πάσης ἀπενόσφισεν οὐκ ἐθέλουσαν.
ἐκ τοῦ καὶ πτολίεθρον ἐπώνυμον ἄνδρες ἔχουσι.
κείνου δ' αὖ ποταμοῖο παρὰ κρημνώδεας ὄχθας
τέμνοις κρυστάλλου καθαρὸν λίθον, οἷά τε πάχνην
χειμερίην. δήεις δὲ καὶ ὑδατόεσσαν ἴασπιν.
Ἶρις δ' ἐξείης καθαρὸν ῥόον εἰς ἅλα βάλλει.
τῷ δ' ἐπιμορμύρουσι ῥοαὶ ἅλυος ποταμοῖο.
ἑλκόμεναι βορέην διὰ καραμβίδος ἐγγύθι ἄκρης.
ἀρξάμεναι τὸ πρῶτον ἀπ' οὔρεος ἀρμενίοιο.
παφλαγόνες δ' ἐπὶ τῇσιν ἐπ' ἠϊόνεσσι νέμονται
καὶ μαριανδυνῶν ἱερὸν γένος. ἔνθ' ἐνέπουσιν
οὐδαίου κρονίδαο μέγαν κύνα χαλκεόφωνον,
χερσὶν ἀνελκόμενον μεγαλόφρονος ἡρακλῆος,
δεινὸν ἀπὸ στομάτων βαλέειν σιαλώδεα χυλόν.
τὸν μὲν ἐδέξατο γαῖα καὶ ἀνδράσι πῆμ' ἐφύτευσεν.
ἄγχι δὲ βιθυνοὶ λιπαρὴν χθόνα ναιετάουσι,
ῥήβας ἔνθ' ἐρατεινὸν ἐπὶ προΐησι ῥέεθρον,
ῥήβας ὃς πόντοιο παρὰ στομάτεσσιν ὁδεύει,
ῥήβας οὗ κάλλιστον ἐπὶ χθονὶ σύρεται ὕδωρ.
τόσσοι μὲν πόντοιο περικτίται ἄνδρες ἔασι.
κεῖνα δέ τοι σκυθίης προλελεγμένα φῦλα πελέ-
νῦν δ' αὖ τῆς λοιπῆς ἀσίης πόρον ἐξενέποιμι, (ἀθω
ὅς ῥά τε πρὸς νότον εἰσὶν ἐφ' ἑλλήσποντον ὁδεύων
καὶ ποτὶ μηκίστην νότιον ῥόον αἰγαίοιο.

μέσσῳ' αὐτῆς συρίης τε καὶ ἀρραβίης κρατεινῆς·
χαλκηδέες μὲν πρῶτα παρὰ στόμα ναῖον ἔχουσι,
οὖδας ἐς ἀντιπέρην βυζάντιον εἰσορόωντες·
βέβρυκες ἐπὶ τοῖσι καὶ οὔρεα μυσίδος αἴης·
ἧχι τὸν ἱμερόεντα κίος προΐησι ῥέεθρα.
τῷ ποτ' ἐπὶ προχοῇσιν ὕλαν ἀπενόσφισε νύμφη,
ὄβριμον θεράποντα πελωρίου ἡρακλῆος.
ἔνθεν εἰς ἑλλήσποντον ἐπιβλέπει ἄστεος ἀκτῶν
βαιοτέρης φρυγίης· ἑτέρη δέ οἱ ἔνδοθι κεῖται
εὐρυτέρη γεγαυῖα παρ' ὕδασι σαγγαρίοιο.
ἀλλ' ἤτοι μεγάλη μὲν ὑπ' ἀντολίην τετάνυσται,
ἱπποβότος λιπαρή τε. πρὸ δ' ἑσπερίην δ' αὖ ἴδοιο
τὴν ἑτέρην, ἥ κεῖται ὑπὸ ζαθέας πόδας ἴδης,
ἴλιον ἣν ἐμέσσαν ὑπὸ πλευρῇσιν ἔχουσα.
ἴλιον, ἀγλαὸν ἄστυ παλαιγενέων ἡρώων·
ἴλιον, τὴν ἐπόλισσε ποσειδάων καὶ ἀπόλλων·
ἴλιον, τὴν ἀλάπαξαν ἀθηναίη τε καὶ ἥρη,
ξάνθῳ ἐπ' εὐρὺ ῥέοντι καὶ ἰδαίῳ σιμόεντι.
τήνδε μετ' αἰολίδος παραπέπταται ἤθεα γαίης
αἰγαίου παρὰ χεῖλος ὑπὲρ μέγαν ἑλλήσποντον
τῇ δ' ἐπὶ ναιετάουσιν ἀγαυῶν παῖδες ἰώνων.
ἀγχίαλοι γεγαότες ἐπὶ χθονός, ἧς διὰ μέσσης
μαίανδρος λιπαρῇσι κατέρχεται εἰς ἅλα δίναις
μιλήτου τέ μεσηγὺ καὶ εὐρυχόροιο πριήνης,
τάων ἀμφοτέρων γε, βορειοτέρην ἐσίδοιο
παραλίην ἔφεσον μεγάλην πόλιν ἰοχεαίρης.

ἔνθα θεῇ ποτὲ νηὸν ἀμαζονίδες τετύκοντο,
πρέμνῳ ἐνὶ πτελέης, περιώσιον ἀνδράσι θαῦμα.
μηονίη δ' ἐπὶ τῇσιν ἐπ' ἀντολίην τετάνυσται
τμώλῳ ὑπ' ἠνεμόεντι· τόθεν πακτωλὸς ὁδεύων
χρυσὸν ὁμοῦ δίνῃσιν ἐφελκόμενος κελαρίζει.
τοῦ δ' ἂν ἐπὶ πλευρῇσι καθήμενος εἴαρος ὥρῃ
κύκνων εἰσαΐοις λιγυρὴν ὄπα. οἵ τε καθ' ὕλην
ἔνθα καὶ ἔνθα νέμονται ἀεξομένης ἐπὶ ποίης.
πολλοὶ γὰρ λειμῶνες ἐν ἀσίδι τηλεθάουσιν
ἔξοχα δ' ἀμπελίου μαιάνδριον· ἔνθα καΰστρου
ἥσυχα καχλάζοντος ἐπιρρέει ἀγλαὸν ὕδωρ.
οὐ μὴν οὐδὲ γυναῖκας ὀνόσσεαι, αἳ περὶ κεῖνο
θεῖος ἕδος χρυσοῖο κατ' ἰξύος ἅμμα βαλοῦσαι
ὀρχεῦνται, θηητὸν ἑλισσόμεναι περὶ κύκλον
εὖτε διωνύσοιο χοροστασίας τελέθουσι.
σὺν καὶ παρθενικαὶ νεοθηλέες οἷά τε νεβροὶ
σκαίρουσιν τῇσιν περὶ σμαραγεῦντες ἀῆται
ἱμερτοὺς δονέουσιν ἐπὶ στήθεσσι χιτῶνας.
ἀλλὰ τὰ μὲν, λυδοῖσι μετ' ἀνδράσι μέλονται.
πρὸς δ' ἄλλα κεκλιμένοι λύκιοι χθόνα ναιετάουσι
ξάνθου ἐπὶ προχοῇσιν ἐϋρρείταο ποταμοῖο.
ἔνθα βαθυκρήμνοιο φαείνεται οὔρεα ταύρου,
παμφυλίων καὶ μέχρι· κράγον δέ ἑ φημίζουσι.
κεῖθι δ' ἀρ' ἐχθρήσειας ὑπεὶρ ἅλιον πελίεθρον
ἄσπενδον, ποταμοῖο παρὰ ῥόον εὐρυμέδοντος.
ἔνθα συοκτονίῃσι διωναίην ἱλάονται.

ἄλλαι δ᾽ ἑξείης παμφυλίδες εἰσὶ πόληες.
κώρυκος, πέργη τε, καὶ ἠνεμόεσσα φάσηλις.
τῆς δὲ πρὸς ἀντολίην μεσάτην χθόνα ναιετάουσιν
ἴσαυροι ἐν πολέμοισι λυκηδόνες ἀγκυλότοξοι.
τοῖς δ᾽ ἐπὶ πισιδέων λιπαρὸν πέδον· ἧχι πόληες
τελμησσός, λύρβη τε, καὶ ἣν ἐπολίσσατο λαὸς
πρίν ποτ᾽ ἀμυκλαίων ἐπώνυμος ἐν χθονὶ σέλγη
κεῖθεν δ᾽ εἰς αὐγὰς σκολιὸν περιτέμνεται οἶμον,
πολλὸν ἔσω βεβαυῖα περίδρομος ἀμφιτρίτη
γείτων εὐξείνοιο πολυκλύστοιο θαλάσσης.
κεῖνός τοι κιλίκων περιούρεται ἔθνεα κόλπος
μακρὸς ἐπ᾽ ἀντολίην· ἀσίης δὲ στεινάκια λεῦσι.
καὶ τῶν μὲν, πολέων ποταμῶν ἐπιμίσγεται ὕδωρ,
τηλόθεν ἐκ χωρίων, πυράμοιό τε καὶ πινάροιο
κύδνου δὲ σκολιοῖο μέσην διὰ ταρσὸν ἰόντος
ταρσὸν ἐϋκτιμένην. ὅθι δή ποτε πήγασος ἵππος
ταρσὸν ἀφεὶς χώρῳ, λίπεν οὔνομα τῆμος ἀφ᾽ ἵππ
ἐς διὸς ἱέμενος πέσεν ἥρως βελλεροφόντης (που
κεῖθι δὲ καὶ πεδίον τὸ ἀλήϊον, οὗ κατὰ νῶτα
ἀνδρῶν ἀπάνευθεν ἀλώμενος ἐνδιάασκεν.
πολλαὶ δ᾽ ἑξείης κιλίκων γεγάασι πόληες,
λυρνησσός, μαλλός τε, καὶ ἀγχιάλεια, σόλοι τε.
αἱ μὲν, ἐν ἠπείρῳ· αἱ δ᾽ αὐτῆς ἄγχι θαλάσσης.
τῆς δ᾽ ἔπι κομμαγηνῶν ἔδος· συρίης τε πόληες,
θινὸς ἐπὶ στρεπτῆς περιμήκεος· ἀμφὶ γὰρ ὁλκὸς
ἐς δύσιν ἔστραπται πολιῆς ἁλὸς ἄχρι κολώνης,

οὔρεος

οὔρεος ἀγχιάλοιο βαθυκρήμνου κασίοιο·
ἑξείης δ' αὖ τοι λοιπὸν πόρον αὐδήσαιμι,
γαιάων ἀσίης· ὁ δέ τοι λόγος ἐν φρεσὶν ἔστω.
μὴ δ' ἀνέμοις φορέοιτο πονηθέντων χάρις ἔργων
εἰ γὰρ δὴ σάφα τήνδε καταφράσσαιο κέλευθον,
ἢ τάχα κεν ἄλλοισιν ἐπισταμένως ἀγορεύοις,
καὶ ποταμούς· πολίων τε θέσιν· καὶ γαῖαν ἑκάστην
σχῆμα μὲν οὖν πισύρεσσιν ὑπὸ πλευρῇσι τετύχθω
πεπταμένον δολιχοῖσιν ἐπ' ἀντολίην πεδίοισιν·
οἶσθα μὲν ἐν πρώτοισιν ἐμεῦ εἰπόντος ἀκούσας
πᾶσαν ἕως ἰνδῶν ἀσίην ὄρος ἄνδιχα τέμνειν·
κεῖνό τοι ἐν πλευροῖσι βορειότερον τελέοιτο·
νεῖλος δ' ἑσπέριον πλευρὸν πέλει· αὐτὰρ ἑῷον
ἰνδικὸς ὠκεανός· νότιον δ' ἁλός, οἶδμα τ' ἐρυθρόν
φράζεο δ' ὡς ὑπὸ πέζαν ἐπ' αὐγὰς ἵξομαι ἤδη,
ἀρξάμενος συρίηθεν ὅθεν λίπον· οὐδ' ἂν ἔμοιγε
μύθου ἅτε ψευσθέντος ἀνὴρ ἐπιμωμήσαιτο·
ἀλλ' ἤτοι συρίη μὲν ὑπεὶρ ἁλὸς ἰξύθεν ἕρπει,
ἐς νότον ἀντολίην τε πολύπτολιν αἶαν ἔχουσα,
ἣν κοίλην ἐνέπουσιν ἐπώνυμον· οὕνεκ' ἄρ' αὐτὴν
μέσσην καὶ χθαμαλὴν ὀρέων δύο πρῶνες ἔχουσιν,
ἑσπερίου κασίοιο καὶ ἠῴου λιβάνοιο·
καὶ τὴν μὲν πολλοί τε καὶ ὄλβιοι ἄνδρες ἔχουσιν
οὐχ ἅμα ναιετάοντες ὁμώνυμοι· ἀλλὰ διαμφίς·
οἱ μὲν, ἐπ' ἠπείρῳ, τοί, σύριοι καλέονται·
οἱ δ' ἁλὸς ἐγγὺς ἐόντες, ἐπωνυμίην φοίνικες

κλύζετ' ἐρυθραίοις ὑπὸ κύμασιν ὠκεανοῖο·
καὶ τῆς τοι θέσιας μυθήσομαι· ἔξοχα γάρ μιν
πασάων πολύολβα καὶ ἀγλαὰ φῦλα νέμονται.
ἄλλο δέ τοι καὶ θαῦμα μέγ' ἔξοχον ἔλαχ' ἐκείνη.
αἰεὶ κηόεσσα θύοις ὑπὸ λαρὸν ὄδωδεν.
ἢ θύου, ἢ σμύρνης, ἢ εὐόδμου καλάμοιο.
ἢ καὶ θεσπεσίοιο πεπαινομένου λιβάνοιο.
ἢ κασίης. ἐπεὶ γὰρ ἀνὰ χθόνα λύσατο κείνην
Ζεὺς αὐτὸν Διόνυσον ἐϋρραφέος παρὰ μηροῦ.
τῷ καὶ γεινομένῳ κηώδεα γείνατο πάντα.
μῆλα δὲ καὶ τῆμος λασίοις ἐβαρύνετο μαλλοῖς
ἐννομῷ· αὐτόματοι δὲ κατέρρεον ὕδασι λίμναι.
ὄρνιθες δ' ἑτέρωθεν ἀοικήτων ἀπὸ νήσων,
ἦλθον φύλλα φέροντες ἀκηρασίων κιναμώμων.
αὐτὰρ ὁ μὲν, νεβρίδας ἐπωμαδίας ἐτάνυσσε.
κισσῷ δ' ἱμερόεντι καλὰς ἔστεψεν ἐθείρας.
ἀκροχάλιξ δ' οἴνῳ, πολλὸν δ' ἀνεσείσατο θύρ-
μειδιόων, καὶ πολλὸν ἐπ' ἀνδράσιν ὄλβον ἔχευε(σους
τοιούνεκεν εἰσέτι νῦν, λιβάνῳ μυρόωσιν ἄρουραι.
οὔρεα δὲ χρυσῷ· ποταμοὶ δ' ἑτέρωθι θυηλαῖς.
αὐτοὶ δ' ἐνναέται, μάλα πίονα δῆμον ἔχουσι
χρυσείοις πέπλοισιν ἀγαλλόμενοι μαλακοῖσι.
ἀλλ' ἤτοι πρῶτον μὲν ὑπὲρ κλιτὺν λιβάνοιο
ἀφνειοὶ ναίουσιν ἐπωνυμίην ναβαταῖοι.
ἄγχι δὲ χαλβάσιοί τε καὶ ἀγρέες. οἷς ἐπὶ γαῖα
χατραμὶς ἐνναίει, κατεναντία περσίδος αἴης.

αὐτὰρ ἐρυθραίης πλευρὸν ναίουσι θαλάσσης,
μιναῖοί τε σάβαι τε, καὶ ἀγχίγυοι κλεταβηνοί
τόσσα μὲν ἀρράβίην περιώσια φῦλα νέμονται·
ἄλλα δέ που καὶ πλεῖστα· περι πρὸ γάρ ἥ γε μεγίστη
τῆσδε πρὸς ἀντιπέραιαν ὑπὲρ ῥιπὴν ζεφύροιο
λυπρὸν ὀρεσκῴων παραφαίνεται ἕδος ἐρέμβων
οἳ βίον ἐν πέτρῃσι κατωρυχέεσσιν ἔθεντο
γυμνοί, καὶ κτεάνων ἐπιδευέες· ἀμφὶ δ' ἄρα σφιν
εἴδεϊ θαλπομένοισι μελαίνεται αὐαλέος χρώς.
αὕτως δ' οἷά τε θῆρες ἀλώμενοι ἄλγε' ἔχουσιν·
οὐχ ὡς ἁβροβίων ἀράβων γένος. οὐ γὰρ ἐν ὄλβῳ
ἴσην μοῖραν ἅπασιν ἐπ' ἀνδράσι θήκατο δαίμων
αὐτὰρ ὑπὲρ λιβάνοιο πρὸς αὐγὰς ἠελίοιο
τῆς ἑτέρης συρίης δολιχὴ μηκύνεται αἶα.
ἑλκομένη καὶ μέχρι ἁλικλύστοιο σινώπης.
τῆς δ' ἤτοι μέσσης μὲν ἐπ' ἠπείροιο βαθείης
καππαδόκαι ναίουσι δαήμονες ἱπποσυνάων)
ἀσσύριοι δ' ἄλλοι ἄγχι παρὰ στόμα θερμώδοντος
τῆσδε πρὸς ἀντολίην ὀρέων ἄπο παιπαλοέντων
φαίνεται τ' ἀπειρεσίου ποταμοῦ ῥόος εὐφρήταο
ὅς δή τοι πρῶτον μὲν ἀπ' οὔρεος ἀρμενίοιο
μακρὸς ἐπὶ νότον εἶσι· πάλιν δ' ἀγκῶνας· ἑλίξας
αὖ την ἠελίοιο μέσην βαβυλῶνα περήσας
περσίδος ἐς ἁλὸς οἶδμα, θοὴν ἀπερεύγεται ἄχνην
ὑστατίης προχοῇσι τερηδόνος ἐγγὺς ὁδεύων·
τόνδε μετ' εἰς αὐγὰς ποταμὸς ὤκιστος ἁπάντων

τίγρις ἐϋῤῥείτης φέρεται ῥόον ἶσον ἐλαύνων·
τόσσον ἄνευθεν ἰὼν, ὅσσον ἕβδομον ἦμαρ ὁδεύσας
ἴφθιμος καὶ κραιπνὸς ἀνὴρ ἀνύσειεν ὁδίτης.
ἔστι δέ τις κατὰ μέσσα περίτροχος ὕδασι λίμνη
οὔνομα θωνῖτις· ἧς ἕλκεται ἐς μυχὰ τίγρις.
δύνων πολλὸν ἔνερθεν· πάλιν δ' ἐξ αὖτις ἀναχθὼν
ὀξύτερον προΐησι κάτω ῥόον. οὐκ ἂν ἐκείνου
ἐν πᾶσιν ποταμοῖσι θοώτερον ἄλλον ἴδοιο.
ὅσση δ' εὐφρήτου καὶ τίγριος ἔνδοθι γαῖα,
τήνδε περικτίονες μέσσην ποταμῶν ἐνέπουσιν
οὐ μέν τοι κείνης γε νομὰς ὠνόσσατο βούτης·
οὐδ' ὅς τις σύνεγγυ κερώνυχα πῶυα γεραίρων,
μήλοις ἀγραύλοισιν ἐφέσσεται. οὐδὲ μὲν ἄλλω
παντοίην φυτοεργὸς ἀνὴρ ἀθερίζετο καρπῶν
τοίη ἐπὶ κείνησ αἴας ἄρουσις πέλει. ἐν μὲν ἀέξειν
ποίην· ἐν δὲ νομοὺς εὐανθέας· ἐν δὲ καὶ ἀνδρῶν
φύτλην· καλλίστην τε καὶ ἀθανάτοισιν ὁμοίην
τῆς μὲν, πρὸς βορέην, λιπαρὴν χθόνα ναιετάουσιν
ἄνδρες ἀρμενιοί τε καὶ ἀγχέμαχοι ματιηνοὶ
οὔρεσι κεκλιμένοι ποταμοῦ πρόπαρ εὐφρήταο
πίονες. ἀφνειοί τε· καὶ ἄρεος εὖ δεδαῶτες·
πρὸς δὲ νότον, βαβυλὼν ἱερὴ πόλις. ἥν ῥά τε πᾶσαν
τείχεσιν ἀῤῥαγέεσσι σεμίραμις ἐστεφάνωσεν.
αὐτὰρ ἐπ' ἀκροπόλει μέγαν δόμον εἵσατο βήλω
χρυσῷ τ' ἠδ' ἐλέφαντι καὶ ἀργύρῳ ἀσκήσασα.
καὶ τῆς τοι πεδίον περιώσιον· ἔνθα τε πολλαὶ

ἀκρόκνημοι φοίνικος ἐπηρεφέες πεφύασι·
ναὶ μὴν καὶ χρυσοῖο φέρει χαριέστερον ἄλλο·
ὑγρῆς βηρύλλου γλαυκὴν λίθον· ἣ περὶ χῶρον
φύεται ἐν προβολῇς ὀφιήτιδος ἔνδοθι πέτρης·
αὐτὰρ ὑπὲρ βαβυλῶνος ἰδὲ πνοιὴν βορέαο·
κισσοὶ μεσσαβάται χαλωνῖταί τε νέμονται·
ἀλλ' ὁπότ' ἀρμενίων ὀρέων προπάροιθεν ἐλεύσῃς
εἰς αὐγάς, τότ' ἔπειτα μηδικὰ τέμπεα δήεις·
τῶν μὲν, πρὸς βορέην βριθηλέαν γῆν ἔχουσι
γηροί τε. μάρδοι τε, καὶ ἀνδρῶν ἀτροπατηνοί·
πρὸς δὲ νότον ναίουσιν ἀγαυῶν ἔθνεα μήδων
κείνης τοι γενεῆς ἐρικυδέος ἐκγεγαῶτες
αἰήταο θυγατρὸς ἀμύμονος ἡρωΐνης·
ἥ τε γὰρ ἀκταίοιο παρὰ ῥόον ἰλισσοῖο
φάρμακ' ἐμήσατο λυγρὰ γόνῳ πανδιονίδαο·
αἰδοῖ μὲν χῶρον κεῖνον λίπεν· ἐς δὲ βαθεῖαν
πλαζομένη κατὰ φῶτας ὁμώνυμον ἵκετο γαῖαν
οὐ μὲν ἑκὰς κόλχων. κόλχων μὲν γαῖαν ἱκέσθαι
οὔ οἱ ἔην. μῆνιν γὰρ ἑοῦ δειδίσσετο πατρός·
τοὔνεκεν εἰσέτι νῦν πολυφάρμακοι ἄνδρες ἔασι
χώρην ναιετάοντες ἀπείριτον. οἱ μὲν, ἐπ' αὐτὰς
πέτρας· αἳ φύουσιν ἀφειδέα ναρκισσίτην·
οἱ δ' ἑκὰς ἐν λασίῃσι νενασμένοι εἰχμενῇσι
πώεα καλὰ νέμοντες. ἅδην βεβριθότα μαλλοῖς
τόσσον ἐπ' ἀντολίην τε τετραμμένοι ἄγχι πυλάων
κασπιάκων. αἵ τ' εἰσὶ βαθυνομένας ὑπὸ πέτρας

κληῖδες γαίης ἀσιήτιδος ἧχι κέλευθος
ἐκτέταται ἐς βορέην τε καὶ ἐς νότον ἐρχομένοισιν.
ἡ μὲν ἐς ὑρκανίους· ἡ δ' οὔρεα περσίδος αἴης
ἀλλ' ἤτοι πυλάων μὲν ὑπαὶ πόδα κασπιάων,
πάρθοι ναιετάουσιν ἀρήϊοι ἀγκυλότοξοι,
παντοίου πολέμοιο δαήμονες· οὐ γὰρ ἀρότρῳ,
αὔλακ' ἐπιθύνουσι διασχίζοντες ἀρούρας
οὐδέ μεν οἰνήεσσιν ἅλα τμήγουσιν ἐρετμοῖς.
οὐδὲ νομῷ φέρβουσι βοῶν γένος. ἐκ δὲ γενέθλης
νηπίαχοι τόξοισι καὶ ἱπποσύνῃσι μέλονται.
αἰεὶ δ' ἠχήεσσαν ἀνὰ χθόνα δοῦπος ἀκόντων
ἢ βελέων· πάντῃ δέ τ' ἀελλοπόδων δρόμος ἵππων
θυνόντων· οὐ γάρ σφι θέμις δόρποιο πάσασθαι
πρὶν πολέμῳ μόχθοισι καρήνην ἱδρῶτι παλῦναι.
φέρβονται δ' ἄγρῃσι δορικτήτου βιότοιο.
ἀλλ' ἔμπης κατὰ δῆριν ἀμαιμακέτους περ ἐόντας
αὐσονίου βασιλῆος ἐπεπρήϋνεν ἀκωκή. (τας
εἰ δέ σε καὶ πέρσας ἰδέειν γλυκὺς ἵμερος αἱρεῖ,
ὐφραδέως αὖ σοι καὶ τῶν γένος αὐδήσαιμι.
καὶ περ. νασάων παρ ταμῶν ὀρέων τε κελεύθους.
μοῦνοι γάρ τ' ἀσίης βασιλεύτατον ἔθνος ἔχουσι
μοῦνοι δ' ἄσπετον ὄλβον ἐνὶ μεγάροισιν ἔθεντο
ὁππότε μηονίην καὶ σάρδιας ἐξαλάπαξαν.
χρύσεα γὰρ κείνων μὲν ἀεὶ χροῒ τεύχεα φωτῶν
χρύσεα δ' αὖθ' ἵπποισιν ἀεὶ στομάτεσσι χαλινά.
χρυσῷ δ' ἀμφὶ πόδεσσιν ἐκοσμήσαντο πέδιλα.

τόσσος γάρ σφιν ὄλβος ἀπείριτος. ἀλλά τοι εἴη
περσὶς ὅλη μεγάλοισι περίδρομος οὔρεσι γαῖα
κασπιάδων πυλάων νοτιώτερον οἱ μὲν ἔχουσαι.
ἑλκομένη καὶ μέχρις ὁμωνύμου ἀμφιτρίτης.
τριχθὰ δέ μιν ναίουσι διασταδόν. οἱ μὲν, ὑπ' ἄρκτους
τοξοφόρων σκιεροῖσι παρήμενοι οὔρεσι μήδων.
οἱ δὲ, μεσήπειροι. οἳ δ' ἐς νότον ἄχρι θαλάσσης
πρῶτα σάβαι. μετὰ τούσδε πασαργάδαι. ἄγ-
χι δὲ τασκοί·
ἄλλοι θ' οἳ ναίουσι διάνδιχα περσίδα γαῖαν.
καὶ τὴν μὲν, πολέες ποταμοὶ περιπιαίνουσι
τῇ καὶ τῇ σκολιῇσιν ἐλαυνόμενοι προχοῇσι,
χωρὶς μὲν κύρος ἔστι μέγας. χωρὶς δὲ χόασπις
ἕλκων ἰνδὸν ὕδωρ παρά τε ῥείων χθόνα σούσων,
τοῦ δ' αὖ ἄνθι πολυρῇσιν ἴδοις εὐωπὸν ἀχάτην
κείμενον οἷα κύλινδρον ἐπὶ χθονός. ὅν ῥά τ' ἀπὸ πέ-
χειμερίου ποταμοῖο κάτω σύρουσι χαράδραι (τρης
αἰεὶ δ' αὖ λιαροῖο γεγηθότες ἐξ ἀνέμοιο.
καρποὶ, τηλεθάουσιν ἐπίτειμοι ἀλλήλοισι.
φράζεο δ' εἰς αὐγὰς λοιπὸν πόρον ἀσίδος αἴης.
ἐγγύθι γάρ τοι πέζα τελείεται ἠπείροιο
ἤτοι μὲν παρὰ χεῦμα τὸ περσικὸν ὠκεανοῖο,
καρμανοὶ ναίουσιν ὑπ' ἠελίῳ ἀνιόντι·
περσίδος οὐκ ἀπάνευθε διάνδιχα γαῖαν ἔχοντες
οἱ μὲν, ὑπειράλιοι. οἳ δ' ἔνδοθεν, ἠπειρῶται,
τῶν δὲ, πρὸς ἀντολίην γεδρωσῶν ἕλκεται αἶα

γείτον ὠκεανοῦ μεγακήτεος, οἵσι πρὸς αὐγὰς
ἰνδὸν παρ ποταμὸν νότιοι σκύθαι ἐνναίουσιν.
ὅς ῥ' ἀτ' ἐρυθραίης κατεναντίον εἶσι θαλάσσης
λαυρότατον ῥόον ὠκὺ ποτὶ νότον ὀρθὸν ἐλαύνων
ἀρξάμενος τὰ πρῶτ' ἀπὸ καυκάσου ἠνεμόεντος
δισσὰ δέ οἱ στόματ' ἐστί. μέσην δ' ἐπιδέδρομε νῆσον
νῆσον τὴν καλέουσιν ἐπιχθόνιοι πατταλήνην.
κεῖνός τοι πολέων ἀποτέμνεται ἔθνεα φωτῶν
ἤτοι μὲν δύνοντος ἐπὶ κλίσιν ἠελίοιο,
ὠρείτας τ' ἀράβας τε, λινοχλαίνας τ' ἀραχώτ
ἀζαΐδας θ', ὅσσους τε παρὰ πτυχὶ παρνησοῖο
ξωνῆ ὁμῶς μάλα πάντας ἐπωνυμίην ἀρειηνούς.
οὐ χθόνα ναιετάοντας ἐπήρατον· ἀλλ' ὑπὸ λεπτῇ
ψάμμῳ πεπληθυῖαν τ' ἐν ῥώπεσι δασεῖαν· |
ἀλλ' ἔμπης ζωῆσιν ἐπαρκέες εἰσὶ κέλευθοι.
ἄλλου γάρ σφιν ὄλβον ἀκήρατον αἶα κομίζει.
πάντη γὰρ λίθος ἐστὶν ἐρυθροῦ κουραλίοιο.
πάντη δ' ἐν πέτρῃσιν ὑπὸ φλέβες ὠδίνουσι
χρυσείης κυανῆς τε καλὴν πλάκα, σαπφείροιο
τὴν ἀποτεμνόμενοι, βιοτήσιον ὦνον ἔχουσι.
πρὸς δ' αὐγὰς ἰνδῶν, ἐρατὴ πέπταται αἶα
πασάων πυμάτη, παρὰ χείλεσιν ὠκεανοῖο
ἣν ποτ' ἀνερχόμενος μακάρων τε ἔργα καὶ ἀνδρῶν
ἠέλιος πρώτῃσιν ἐπιφλέγει ἀκτίνεσσι
τῶ γαίης ναίεται μὲν ὑπὸ χρόα κυανέουσι
θεσπέσιον λιπόωντες. ἰσδομένας δ' ὑακίνθω

ποτάλτας φορέουσιν ἐπὶ κράτι σφιν ἐθείρας·
τῶν δ' οἱ μὲν, χρυσοῖο μεταλλεύουσι γενέθλην·
ψάμμον ἐϋγνάμπτῃσι λαχαίνοντες μακέλῃσιν·
οἱ δ' ἱστοὺς ὑφόωσι λινοεργέας· οἱ δ' ἐλεφάντων
ἀργυφέους πριόντες ὑποξύουσιν ὀδόντας·
ἄλλοι δ' ἰχνεύουσιν ἐπὶ προβολῇσιν ἀναύρων
ἤ που βηρύλλου γλαυκὴν λίθον ἢ ἀδάμαντα
μαρμαίροντα. ἢ χλωρὰν διαυγάζουσαν ἴασπιν.
ἢ καὶ γλαυκιόωντα λίθον καθαροῖο τοπάζου
καὶ γλυκερὴν ἀμέθυσον ὑπηρέμα πορφύρουσαν
παντοῖον γὰρ γαῖα μετ' ἀνδράσιν ὄλβον ἀέξει·
ἀενάοις ποταμοῖσι κατάρρυτος ἔνθα καὶ ἔνθα·
ναὶ μὴν καὶ λειμῶνες ἀεὶ κομόωσι πετήλοις·
ἄλλοθι μὲν γὰρ κέγχρος ἀέξεται. ἄλλοθι δ' αὖτε
ὕλαν τηλεθόωσιν ἐρυθραίου καλάμοιο·
φράζεο δ' ὥς τοι σῆμα καὶ ὡς ποταμοὺς ἐνέποιμι
οὔρεά τ' ἠνεμόεντα καὶ αὐτῆς ἔθνεα γαίης,
ἤτοι μὲν πισύρεσιν ἐπὶ πλευρῇσιν ἀρήρειν
πάσῃσι λοξῇσιν ἀλιγκίη εἴδεϊ ῥόμβου.
ἀλλά τοι ἑσπερίοις μὲν ὁμούριος ὕδασιν Ἰνδὸς
γαῖαν ἀποτμήγει. νότιον δ' ἅλος οἶδμα τ' ἐρυθρῆς
Γάγγης δ' εἰς αὐγάς. ὁ δὲ Καύκασος ἐς πόλον ἄρκτου
καὶ τὴν μὲν, πολλοί τε καὶ ὄλβιοι ἄνδρες ἔχουσιν·
οὐχ ἅμα ναιετάοντες ὁμώνυμοι. ἀλλὰ διαμφὶς·
κεκριμένοι. ποταμοῦ μὲν ἀπειρεσίου πέλας Ἰνδοῦ
Δαρδανέες. τόθι λοξὸν ἀπὸ σκοπέλων Ἀκεσίνην

συρόμενον δέχεται πλωτὸς νήσοισιν ὑδάσπης.
τοῖς δ' ἔπι καὶ κώφης ζίγος ἕσπετ' ἀργυροδίνης.
τῶν δὲ μέσοι ναίουσι σάβαι καὶ τόξιλοι ἄνδρες
σκόδροι δ' ἑξείης. μετὰ δ' ἕσπεται ἄγρια φῦλα
πευκαλέων. μετόπισθε δὲ, διωνύσου θεράποντες
γαργαρίδαι ναίουσιν. ὅθι χρυσοῖο γενέθλην
δαιδαλέην ὕπανίς τε φορεῖ θεῖος τε μέγαρσος
λαβρότατοι ποταμῶν. ἀπ' ἄρ' οὔρεος ἠμωδοῖο
ὀρνύμενοι προρέουσιν ἐπὶ γαγγίτιδα χώραν.
πρὸς νότον ἑλκόμενοι περὶ τέρματα κωλίδος αἴης
ἣ δή τοι προνένευκεν ἐπ' ὠκεανὸν βαθυδίνην
ἠλίβατος ταχινοῖσι δυσέμβατος οἰωνοῖσι,
τοὔνεκά μιν καὶ φῶτες ἐπικλείουσιν ἄορνιν.
ἔστι δέ τίς γε θνητὸς ἐϋρρείτην παρὰ γάγγην
χῶρος τιμήεις τε καὶ ἱερός. ὅν ποτε βάκχος
θυμαίνων ἐπάτησεν. ὅτ' ἠλλάσσοντο μὲν ἁβραὶ
λινάων νεβρίδες ἐς ἀσπίδας, ἐς δὲ σίδηρον
θύρσοι μαιμώωντο καὶ ἐς σπείρημα δρακόντων.
ζωστῆρες θ' ἕλικές τε πολυγνάμπτοιο ἐλίνου.
ἦμος ὅτ' ἀφραδίῃσι θεοῦ ἀτίλησαν ἑορτὴν,
τοὔνεκα νυσαίην μὲν ἐφημίξαντο κέλευθον.
κόσμῳ δ' ἑσήσαντο σὺν ἤασιν ὄργια πάντα.
αὐτὸς δ' ὁππότε φῦλα κελαινῶν ὤλεσεν ἰνδῶν
ἠμωδῶν ὀρέων ἐπεβήσατο. τῶν, ὑπὸ ῥίζαν
ἕλκεται ἠῴοιο μέγας ῥόος ὠκεανοῖο.
ἔνθα δύο στήλας ὀρείσας περὶ τέρματα γαίης

καὶ χαλόων μέγα χεῦμα κατήλυθεν ἰσμηνοῖο·
τόσσοι μὲν κατὰ γαῖαν ὑπέρτατοι ἄνδρες ἔασιν
ἄλλοι δ' ἔνθα καὶ ἔνθα κατ' ἠπείρους ἀλόωνται
μυρίοι. οὓς οὐκ ἄν τις ἀριφραδέως ἀγορεύσοι
θνητὸς ἐών. μοῦνοι δὲ θεοὶ ῥέα πάντα δύνανται
αὐτοὶ γὰρ καὶ πρῶτα θεμείλια τορνώσαντο.
καὶ βαθὺν οἶμον ἔδειξαν ἀμετρήτοιο θαλάσσης·
αὐτοὶ δ' ἔμπεδα πάντα βίῳ διετεκμήραντο.
ἄστρα διακρίναντες. ἐκληρώσαντο δ' ἑκάστῳ
μοῖραν ἔχειν πόντοιο καὶ ἠπείροιο βαθείης·
τῷ ῥα καὶ ἀλλοίην ῥυσμοῦ φύσιν ἔλλαχ' ἑκάστη.
ἡ μὲν, γὰρ λευκή τε καὶ ἀργινόεσσα τέτυκται·
ἡ δὲ, κελαινοτέρη. ἡ δ' ἀμφοτέρων λάχε μορφὴν
ἄλλη δ' ἀσσυρίης ἐναλιγκίη ἄνθεσι μίλτου·
ἄλλαι δ' ἀλλοῖαι· τὰς ἄν μέγας ἐφράσατο Ζεύς·
οὕτω δ' ἀνθρώποις ἑτεροῖα πάντα τέτυκται·
ὑμεῖς δ' ἤπειροί τε καὶ εἰν ἁλὶ χαίρετε νῆσοι
ὕδατά τ' ὠκεανοῖο, καὶ ἱερὰ χεύματα πόντου,
καὶ ποταμοί, κρῆναί τε, καὶ οὔρεα βησσήεντα.
ἤδη γὰρ πάσης μὲν ἐπέδραμον οἶδμα θαλάσσης
ἤδη δ' ἠπείρων σκολιὸν πόρον· ἀλλά μοι ὕμνων
αὐτῶν ἐκ μακάρων ἀντάξιος εἴη ἀμοιβή·

Τέλος τῆς τοῦ Διονυσίου περιηγήσεως.

ΛΥΚΟΦΡΟΝΟΣ ΤΟΥ ΧΑΛΚΗΔΕΩΣ.

ἔξω τὰ πάντα νητρεκῶς
ἅμ' ἱστορεῖς
λ ἀρχῆς ἀπ' ἄκρης· ἢν δὲ
μηκυνθῇ λόγος,
σύγγνωθι δέσποτ'· οὐ γὰρ γ.
ἥσυχος κόρη
ἔλυσε χρησμῶν ὡς πρὶν αἰόλον στόμα.
ἀλλ' ἄσπετον χέασα παμμιγῆ βοὴν,
δαφνηφάγων φοίβαζεν ἐκ λαιμῶν ὄπα,
σφιγὸς κελαινῆς γῆρυν ἐκμιμουμένη.
τῶν, ἅσσα θυμῷ καὶ διὰ μνήμης ἔχω,
κλύοις ἂν ὦ'ναξ. κἀναπεμπάζων φρενὶ
πυκνῇ, διοίχνει δυσφάτους αἰνιγμάτων
οἴμας, τυλίσσων, ᾗπερ εὐμαθὴς τρίβος
ὀρθῇ κελεύθῳ τὰν σκότει ποδηγετεῖ
ἐγὼ δ' ἄκραν βαλβῖδα μηρίνθου σχάσας,
ἄνειμι λοξῶν ἐς διεξόδους ἐπῶν
πρώτην ἀράξασ' νύσσαν ὡς πτηνὸς δρομεύς
ὡς μὲν αἰπὺν ἄρτι φηγίου πάγον
κραιπνοῖς ὑπερποτᾶτο πηγάσου πτεροῖς.
τιθωνὸν ἐν κοίτῃσι τῆς κέρνης πέλας
λιποῦσα τὸν σὸν ἀμφιμήτριον κάσιν.
οἱ δ' οὖσα γρώνης εὐγάληνα χερμάδος
ναῦται λίαζον. κἀπὸ γῆς ἐσχάζοσαν,

ὑπαλλήξασ'· αἱ δὲ παρθενοκτόνον Θέτιν,
ἰουλόπεζοι, θεῖνον εὐῶπες σπάθαις,
πελαργοχρῶτες, αἱ φαλακραῖαι κόραι
ὑπὲρ καλυδνῶν λευκὰ φαίνουσαι πτίλα
ἄφλαστα, καὶ φάσωνας ὀργυιωμένους.
ἀπαρκτίαις πρηστῆρος αἴθωνος πνοαῖς.
ἡ δ' ἔνθεον σχάσασα βακχεῖον στόμα,
ἄτης ἀπ' ἄκρων βουπλανοκτίστων λόφων,
τοιῶν δ' ἀπ' ἀρχῆς ἦρχ' ἀλεξάνδρα λόγων.
αἲ αἲ τάλαινα θηλάμων κεκαυμένη,
καὶ πρόσθε μὲν πεύκῃσιν οὐλαμηφόροις,
τριεσπέρου λέοντος· ὅν ποτε γνάθοις
τρίτωνος ἠμάλαψε κάρχαρος κύων.
ἔμπνους δὲ δαιτρὸς ἡπάτων φλοιδούμενος,
τινθῷ λέβητος ἀφλόγοις ἐπ' ἐσχάραις,
σμήριγγας ἐστάλαξε κωδείας πέδῳ
ὁ τεκνοραίστης ὁ λυμεὼν ἐμῆς πάτρας.
ὁ δευτέραν τεκοῦσαν ἄζοχον βαρεῖ
τύψας ἀζάκτῳ στέρνον. ἔν τ' αὐλῷ μέσῳ
πατρὸς παλαιστοῦ χερσὶν ὀχμάσας δέμας,
κρόνου παρ' αἰπὺν ὄχθον, ἔνθα γηγενοῦς
ἵππων ταρακτὴς ἔστιν ἰσχένου τάφος.
ὁ τὴν θαλάττης αὐσονίτιδος μυχοὺς
στενοὺς ὀπιπτεύουσαν ἀγρίαν κύνα
κτανὼν ὑπὲρ σπήλυγγος ἰχθυωμένην,
ταυροσφάγον λέαιναν· ἣν αὖθις πατὴρ

σάρκας καταίθων λοφνίσιν δομήσατο,
λέπτυνιν οὐ τρέμουσαν οὐδαίαν θεὸν
ἐξωνάρξεν ὅν ποτ' ἀξίφῳ δόλῳ
νέκυς, τὸν ἅδην δεξιούμενος πάλαι.
λύσωσι τλήμων δεύτερον πυρουμένην,
ταῖς τ' αἰακείοις χερσὶ, τοῖς τε ταντάλου
λαίτειναν οἰκουροῦσι λειψάνοις πυρὸς,
παιδὸς καταβρεχθέντος αἰθάλῳ δέμας
τοῖς τευταρέοις βουκόλου πτερώμασι.
τὰ πάντα πρὸς φῶς ἡ βαρύζηλος δάμαρ
σείλασα κοῦρον τὸν κατήγορον χθονὸς,
ἄξει, πατρὸς μομφαῖσιν ἠγριωμένη,
λέκτρων θ' ἕκατι τῶν τ' ἐπεισάκτων γάμων
αὐτὴ δὲ φαρμακουργὸς οὐκ ἰάσιμον,
ἕλκος δρακοῦσα τοῦ ξυνευνέτου λυγρὸν
γιγαντοραίστοις ἄρδισι τετρωμένου,
πρὸς αἰθοπλίτου ξυνὸν ὀχήσει μόρον
πύργων ἀπ' ἄκρων πρὸς νεόδμητον νέκυν,
ῥοιζηδὸν ἐκβράσασα κύμβαχον δέμας.
πόθῳ δὲ τοῦ θανόντος ἠγκιστρωμένη,
ψυχὴν περισπαίροντι φυσήσει νεκρῷ.
στένω στένω σε δισσὰ καὶ τριπλᾶ δορὸς
αὖθις πρὸς ἀλκὴν καὶ διαρπαγὰς δόμων,
καὶ πῦρ ἐναυγάζουσαν αἰστωτήριον.
στένω σε πάτρα καὶ τάφους ἀτλαντίδος
δύπτου κέλωρος, ὅς ποτ' ἐν ῥαπτῷ σκύτει.

ὁποῖα πόρκος ἰστριὰς τετρασκελὴς,
ἀσκῷ μονήρης ἀμφελυτρώσας δέμας,
ῥυθειμνειάτης κέπφος ὣς αἰήξατο,
Ζήρινθον ἄντρον τῆς κυνοσφαγοῦς θεᾶς
λιπὼν ἐρυμνὸν κτίσμα κυρβάντων σάον,
ὅτ᾽ ἠμάθυνε πᾶσαν ὀμβρήσας χθόνα,
Ζηνὸς καχλάζων νασμός· οἱ δὲ, πρὸς πέδῳ
πύργοι κατηρείποντο· τοὶ δὲ, λοισθίαν
νήχοντο μοῖραν προυμμάτων δεδορκότες.
φηγὸν δὲ καὶ δρύκαρπα καὶ γλυκὺν βότρυν,
φάλαι τε καὶ δελφῖνες· αἵ τ᾽ ἐπ᾽ ἀρσένων,
φέρβοντο, φῶκαι λέκτρα θουρῶσαι βροτῶν.
λεύσσω θέοντα γρυνὸν ἐπτερωμένον.
τρήρωνος εἰς ἅρπαγμα πεφναίας κυνὸς
ἣν τόργος ὑγρόφοιτος ἐκλοχεύεται,
κελυφάνῳ στρόβιλον ὀστρακωμένην,
καὶ δή σε ναύτην ἀχερουσία τρίβος
καὶ ται βάτις πύγαργον, οὗ πατρὸς κόπρους
στείβοντα ῥακτῶν βουστάθμων ξενώσεται
ὡς πρόσθε κάλλους τὸν θυωρείτην τριπλαῖς.
ἀλλ᾽ ὀστρίμων μὲν αὖτι, γαμφηλὰς ὄνυξ
καὶ λαῖ τορήσεις· αὖτι δ᾽ εὐχείλου κάπης
καὶ μηλιαθμῶν ἠδὲ χερσαίας πλάτης,
τράμπις σ᾽ ὀχήσει καὶ φρέκλφοι πόδες,
διατὰς σαλάμβας κἀπὶ γυθίου πλάκας
ἐν αἷσι πρὸς χώονεα καμπύλας χάσας

πεύκης

πεύκης ὀδόντας, Ἕκτορας πλημμυρίδος,
σκαρμῶν ἰαύσεις εἰναφώστωνα στόλον.
καὶ τὴν ἄνυμφον πόρτιν ἁρπάσας λύκος,
δυεῖν πελειαῖν ὡς φανισμένην γονῆς·
καὶ δευτέραν εἰς ἄρκυν ὀθνείων βρόχων
ληῖτιν ἐμπέσασαν ἰξευτοῦ πτερῷ·
θύστησιν ἁρμοῖ μηλάτων ἀπάργματα
φλέγουσαν ἐν κρόκῃσι καὶ βωμῷ θεᾶ,
θρέξεις ὑπὲρ σκάνδειαν αἰγίλου τ' ἄκραν.
αἴθων ἐπακτὴρ καγχάλων ἀγρεύματι·
νήσῳ δ' ἐνὶ δράκοντος ἐκχέας πόθον,
ἀκτῆς διμόρφου γηγενοῦς σκηπτουχίας,
τὴν δευτέραν ἕωλον οὐκ ὄψει κύπριν.
ψυχρὸν παραγκάλισμα κἀξ ὀνειράτων
κεναῖς ἀφάσσων ὠλέναισι δέμνια.
ὁ γάρ γε συλλέκτροιο Φλεγραίας πόσις
στυγνὸς Τορώνης, ᾧ γέλως ἀπέχθεται
καὶ δάκρυ, νῆϊς δ' ἐστὶ καὶ τητώμενος
ἀμφοῖν, ὁ Θρήκης ἔκ ποτ' εἰς ἐπακτίαν
τρίτωνος ἐκβολαῖσιν ἠλοκισμένην
χέρσον περάσας, οὐχὶ ναυάτῃ στόλῳ,
ἀλλ' ἀστίβητον οἶμον, οἷά τις σιφνώς,
κευθμῶνος ἐν στέραγγι τετρήνας μυχούς,
νέρθεν θαλάσσης ἀτραποὺς διήνυσε,
τέκνων ἀλύξας τὰς ξενοκτόνους πάλας,
καὶ πατρὶ πέμψας τὰς ἐπηκόους λιτὰς

στῆσαι παλίμπουν εἰς πάτραν, ὅθεν πλάνης
Παλληνίαν ἐπῆλθε γηγενῶν τροφὸν
κεῖνος σε γομφοὺς ὥσπερ ἐργάτης δίκης.
τῆς θ' ἡλίου θυγατρὸς ἰχναίας βραβεὺς
ἐπεσβολήσας λυγρὰ νοσφιεῖ γάμων,
λίποντα κάστης ἐκβαλὼν πελειάδος.
ὃς τοῦ λύκου τε καὶ χιμαιρέως τάφους
χρησμοῖσι κυδαίνοντας οὐκ αἰδούμενος,
οὐδ' αἰθέως ἔρωτας, οὐ δὲ τὸν ξένοις
σύνδορπον αἰγαίωνος ἀγνίτην πάγον,
ἔτλης θεῶν ἀλοιτὸς ἐκβλῶσαι δίκην,
λάξας τράπεζαν κἀνακυπώσας θέμιν.
ἀρκτοῦ τιθήνης ἐκμεμαγμένος τρόπους
τοιγὰρ ψαλάξεις εἰς κενὸν νευρᾶς κτύπον,
ἄσιτα κἀδώρητα φορμίζων μέλη.
κλαίων δὲ πάτραν τὴν πρὶν ἠθαλωμένην
ἕξῃ χεροῖν εἴδωλον ἠγκαλισμένος,
τῆς πενταλέκτρου θυάδος πλευρωνίας.
γραῖαι γὰρ αὐναστῆρας ἄμναμοι τριπλαῖς
πήναις κατεκλώσαντο δηναιαῖς ἁλός.
νυμφεῖα πεντάγαμβρα δαίσεσθαι γάμων
δυοῖν μὲν ἁρπακτῆρας αὐγάσαι λύκους
πτηνοὺς τριόρχας αἰετοὺς ὀφθαλμίας.
τόν τ' ἐκ πελωροῦ τε κἀπὸ καρυκῶν ποτῶν
βλαστόντα ῥίζης, ἡμικρῆτα βάρβαρον,
ἐπειὸν, οὐκ ἀργεῖον ἀκραιφνῆ γοναῖς.

οὗ πάππον ἐν γαμφαῖσιν ἐνναία ποτὲ
ἑρκυνὶς ἐριννὺς θουρία ξιφηφόρος
ἄσαρκα μιστύλλουσ᾽ ἐτύμβευσε τάφῳ
τὸν ὠλενίτην χόνδρον ἐνδατουμένη.
ἐν δὴ δὶς ἡβήσαντα, καὶ βαρὺν πόθον
φυγόντα ναυμέδοντος ἁρπακτήριον,
ἔστειλ᾽ ἐρεχθεὺς ἐς λετρειναίας γύας,
λυγρὰν ἀλεξήσοντα μόλπιδος πέδαν
τοῦ ζηνὶ δαιτρευθέντος ὀμβρίῳ δέμας,
γαμβροκτόνον ῥαίσοντα, πενθεροφθόροις
βουλαῖς ἀνάγνοις. ἃς ὁ καδμίλου γόνος
ἤρασε. τὸν δὲ λοίσθιον ἐκπιὼν σκύφον,
φερωνύμους ἔδυψε νηρέως τάφους,
πανώλεθρον κηλῖδα θωΰξας γένει.
ὃ τὴν πόδαργον ψύλλαν ἰνιοστροφῶν
καὶ τὴν ὁπλαῖς ἄρπιναν ἀρπυίαις ἴσην.
τὸν δ᾽ αὖ τέταρτον αὐθόμαιμον ὄψεται.
κίρκου καταρακτῆρος. ὅν τε συγγόνων
τὰ δευτερεῖα τῆς δαϊσφάλτου πάλης
λαβόντα κηρύξουσιν. ἐν δὲ δεμνίοις,
τὸν ἐξ ὀνείρων πέμπτον ἐστροβημένον
εἰδωλοπλάστῳ προσκαταξανεῖ ῥέθει,
τὸν μελόνυμφον εὐνέτην κυταϊκῆς
τῆς ξεινοβάκχης. ὅν ποτ᾽ οἰνώνης φυγὰς
μύρμων τὸν ἐξάπεζον ἀνδρώσας στρατὸν,
πελασγικὸν τυφῶνα γεννᾶται πατήρ.

ἀφ' ἑπτὰ παίδων ψεφαλῷ σποδουμένων,
μοῦνον φλέγουσαν ἐξαλύξαντα σποδόν·
χ' ὡ μὲν παλιμπόρευτον ἵξεται τρίβον,
σφῆκας δαφοινοὺς χηραμῶν ἀνειρύσας,
ὁποῖ χνοῦρος σῶμα κινήσας κάτω.
οἱ δ' αὖ προσγεννήτειραν οὐλαμωνύμου
βύκταισι χερνίψουσιν ὠμησταὶ πόῤῥιν,
τοῦ σκυρείου δράκοντος ἔγκονον λεχὼ
τὴν ὀξυώδυνος σαλμυδησίας ἅλς
ἐντὸς ματεύων, ἑλλάδος καρατόμον,
δαρόν, φαληριῶσαν οἰκήσει σπίλον,
κέλσου πρὸς ἐκ βολαῖσι λιμναίων ποτῶν,
ποθῶν δάμαρτα. τήν ποτ' ἐν σφαγαῖς κεμὰς
λαιμὸν προθεῖσα, φασγάνων ἐκρύσεται
βαθὺς δ' ἔσω ῥηγμῖνος αὐδηθήσεται
εὔρημος ἐν κρόκαισι νυμφίου δρόμος,
στένοντος ἄτας καὶ κενὴν ναυκληρίαν,
καὶ τὴν ἄφαντον εἶδος ἠλλοιωμένην
γραῖαν, σφαγίων ἠδὲ χερνίβων πέλας,
ἄδου τε παφλάζοντος ἐκ βυθῶν φλογὶ
κρατῆρος, ὃν μέλαινα περι φύξει φθιτῶν
σάρκας λεβητίζουσα δαιταλουργία·
χ' ὡ μὲν πατήσει χῶρον ἀιάζων σκύθην,
εἰς πέντε που πλεφῶνας ἱμείρων λέχους
οἱ δ' ἀμφὶ βωμὸν τοῦ προμαντίος κρόνου
ζὴν μητρὶ τέκνων νηπίων κρεανόμου,

ὅρκων τὸ δευτεροῦχον ἄρσαντες ζυγόν,
στερρὰ δ' ἐνοπλίσουσιν ὠλέναις πλάτην,
σωτῆρα βάκχον τῶν πάροιθε πημάτων
σφάλτην ἀνευάζοντες· ᾧ ποτ' ἐν μυχοῖς
δελφινίου παρ' ἀῖξα κερδώου θεοῦ
ταύρῳ κρυφαίας χερνίβας κατάρξεται,
ὁ χιλίαρχος τοῦ πολυρραίστου στρατοῦ.
ᾧ θυμάτων πρόσπαιον ἐκτίνων χάριν
δαίμων ἐνόρχης φυγαλδὸς φαυστήριος
λέοντα θοίνης ἴχνος ἐμπλέξας λύγοις,
χύσει τὸ μὴ πρόρριζον αἰστῶσαι στάχυν,
κείροντ' ὀδόντι καὶ λαφυστίαις γνάθοις
λεύσσω πάλαι δὴ σπεῖραν ὁλκαίων κακῶν,
σύρουσαν ἅλμῃ καὶ πιρροιζοῦσαν πάγῃ,
δεινὰς ἀπειλὰς καὶ πνειφλέκτους βλάβας.
ὡς μήποτε κάλμος ὤφελ' ἐν πετρορρύτῳ
ἴσσῃ φυτεῦσαι, δυσμενῶν ποδηγέτην,
τέταρτον ἐξ ἄτλαντος ἀθλίου σπόρου,
τῶν αὐθομαίμων συγκατασκάπτην πρύλιν,
ὦ μοῦρε πρὸς τὰ λῷστα νημερτέστατε.
μὴ δ' αἰσακείων οὑμὸς ὤφελεν πατὴρ
χρησμῶν ἀπῶσαι νυκτίφοιτα δείματα.
μιᾶς δὲ κρῆψαι τοὺς διπλοῦς ὑπὲρ πάτρας
μοῖρα, στρεφώσας γῆν λημναίῳ πυρί.
οὐκ ἂν τοσῶνδε κῦμ' ἐπέκλυσε κακῶν
καὶ δὴ παλαίμων δέρκεται βρεφοκτόνος

ζέουσαν αἰθύῃσι πλεκτανοστόλοις,
γραῖαν σύνευνον ὠγένου Τιτηνίδα.
καὶ δὴ διπλᾶ σοῦ πατὴρ ἐξαίεται τέκνα,
στερρῷ τυπέντα κλεῖδας εὐάργου μύλῳ,
τὰ πρόσθεν αὐλητῆρος ἐκπεφευγότα
ψυδραῖσι φήμαις λαρνακοφθόρους ῥιφάς,
ᾧ δὴ πιθήσας συγγόνος ἀρτάμος τέκνων,
αἰθυιόθρεπτος πορκέων λιναγρέτης.
κρυθμοῖσι καὶ ῥαιβοῖσι νειρίταις φίλος,
χηλῷ κατεσφράγιξε διπτύχους γονάς
σὺν τοῖς δ' ὁ τλήμων μητρὸς οὐ φράσας θεᾶς
μνήμων ἐφετμάς. ἀλλὰ ληθαργῷ σφαλεὶς,
πρηνὴς θανεῖται στέρνον οὐτασθεὶς ξίφει.
καὶ δὴ στένει Μυρίννα. καὶ παράκτιοι
ἵππων φριμαγμὸν ἠόνες δεδεγμέναι,
ὅταν Πελασγὸν ἅλμα λαιψηροῦ ποδὸς
εἰς θῖν' ἐρείσας λοισθίαν αἴθων λύκος,
κρηναῖον ἐξ ἄμμοιο ῥοιβδήσει γάνος,
πηγὰς ἀνοίξας τὰς πάλαι κεκρυμμένας.
καὶ δὴ καταίθει γαῖαν ὀρχηστὴς Ἄρης,
στρόμβῳ τὸν αἱματηρὸν ἐξάρχων νόμον
ἅπασα δὲ χθὼν προυμμάτων δῃουμένη
κεῖται. πέφρικαν δ' ὥστε λήϊου γύαι
λόγχαις ἀποστίλβοντες. οἰμωγὴ δέ μοι
ἐν ὠσὶ πύργων ἐξ ἄκρων ἰνδάλλεται.
πρὸς αἰθέρος κυροῦσα νηνέμους ἕδρας.

γόῳ γυναικῶν καὶ καταῤῥαγαῖς πέπλων,
ἄλλην ἐπ' ἄλλῃ συμφορὰν δεδεγμένων
ἐκεῖνος ὦ τάλαινα καρδία κακὸν
ἐκεῖνο δὲ τῶν πημάτων ὑπέρτατον,
ὅτ' αὖ λαβράζων πορκυὸς αἰχμητὴς χάρων,
πτεροῖσι χέρσον αἰετὸς διαγράφων,
ῥαιβῷ τυπω τὴν τόρμαν ἀσκύλῳ βάσει,
κλάζων τ' ἄμικτον στόματι ῥιγίστην βοὴν,
τὸν φίλτατόν σου τῶν ἀγαστόρων στρόφιν.
πτώσου τε παιδὸς, ἁρπάσας μετάρσιον,
ὄνυξι γαμφηλῇσι θ' αἱμάσσων δέμας,
ἐγχώρα τίφη καὶ πέδον χραίνῃ φόνῳ
λευρᾶς βοώτης γατομῶν δι' αὔλακος.
λαβὼν δὲ ταύρου τοῦ πεφασμένου δένος,
σκεθρῷ ταλαίπω ζυτάνης ἠρτημένον,
αὖθις τὸν ἀντίποινον ἐκχέας ἴσον,
πακτώλιον σταθμοῖσι τῇ λαυγῇ μύδρον,
κρατῆρα βάκχου δύσεται κεκλαυσμένος
νύμφαισιν. αἱ φίλαι τε βιηφύρου γάνος.
λειβηθρίην θ' ὕπερθε πιμπλείας σκοπὸν
ὁ νεκροπέρνας. ὃς προδειμαίνων πότμον,
καὶ θῆλυν ἀμφὶ σῶμα τλήσεται πέπλον,
δύναι παρ' ἱστοῖς κερκίδος ψαύσας κρότων,
καὶ λοῖσθος εἰς γῆν δυσμενῶν ῥίψας πόδα,
τὸ σὸν ξυώσει με καὶ ὕπνῳ πήσσων δόρυ.
ὦ δαῖμον οἷον κίον' ἀϊστώσας δόμων,

ἔρεισμα πάτρας δυστυχοῦς ὑφαρπάσας,
οὐ μὴν ἀνατεὶ δ' οὐδ' ἄνευ μόχθων πικρῶν
πένθους θ' ὁ λῃστὴς δωριεὺς γελᾷ στρατὸς,
ἐπεγκαχάζων τοῦ δεδουπότος μόρῳ
ἀλλ' ἀμφὶ πρύμναις τὴν πανυστάτην δραμὼν
πεύκαις βίου βαλβῖδα συμφλεχθήσεται.
καλῶν ἐπ' εὐχαῖς πλεῖστα φύξιον Δία
πορθουμένοισι κῆρας ἀρκέσαι πικρὰς
τότ' οὔτε τάφρος οὔτε ναυλόχων σταθμῶν
πρόβλημα, καὶ σταυροῖσι κορσωτὴ πτέρυξ
οὐ γεῖσα χραισμήσουσιν, οὐδ' ἐπάλξεις,
ἀλλ' ὡς μέλισσαι συμπεφυρμέναι καπνῷ,
καὶ λιγνύος ῥιπαῖσι καὶ γρυνῶν βολαῖς,
ἄφλαστα καὶ κόρυμβα καὶ κλῄδων θρόνους.
πυκνοὶ κυβιστῆρες ἐξ ἑδωλίων
πηδῶντες, αἱμάξουσιν ὀθνείαν κόνιν.
πολλοὺς δ' ἀριστεῖς πρωτόλειά θ' Ἑλλάδος
αἰχμῇ φθίνοντας, καὶ σποραῖς ᾠκωμένους,
αἱ σαὶ κατεξανοῦσιν ὄβριμοι χέρες.
φονῷ βλύουσαι καὶ πιμαιμῶσαι μάχης.
ἐγὼ δὲ πένθος οὐχὶ μεῖον οἴσομαι.
τὰς σὰς στένουσα καὶ δι' αἰῶνος ταφάς.
οἰκτρὸν γὰρ οἰκτρὸν κεῖν' ἐπόψομαι φάος,
καὶ πημάτων ὕψιστον, ὧν κραίνει χρόνος
μηνὺς ἑλίσσων κύκλον αὐδηθήσεται.
αἲ αἲ στενάζω καὶ σὸν εὔγλαγον θάλος.

ὦ σκύμνε τερπνὸν ἀγκάλισμα συγγόνων
ὃς τἄγριον δράκοντα πυρφόρῳ βαλὼν
ἴυγγι τόξων, τὸν τυπέντα δ' ἐν βρόχοις
μάρψας ἀφύκτοις βαιὸν ἀστεργῆ χρόνον,
πρὸς τοῦ δαμέντος αὐτὸς οὐ τετρωμένος
καρατομηθεὶς, τύμβον αἱμάξεις πατρός.
οἴμοι δυσαιὼν, καὶ διπλᾶς ἀηδόνας
καὶ σὸν τάλαινα πότμον αἰάζω σκύλαξ.
ὧν τὴν μὲν, αὐτόπρεμνον ἡ τοκὰς κόνις.
χανοῦσα χασμῷ κεύσεται διασφάγος,
λεύσσουσαν ἄτην ἀγχίπαππου στεναγμάτων.
ἵν' ἄλμα πάππου, καὶ χαμευνάδος μόροι
τῆς λαθρονύμφου πόρτιος μεμιγμένοι
σκύμνῳ κέχωνται. πρὶν λαφύξασθαι γάνος
πρὶν ἐκλοχείας γυῖα χυτλῶσαι δρόσῳ
σὲ δ' ὠμὰ πρὸς νυμφεῖα καὶ γαμηλίους
ἄξει θυηλὰς στυγνὸς ἰφιάδος λέων,
μητρὸς κελαινῆς χέρνιβας μιμούμενος
ἣν ἐς βαθεῖαν λαιμίσας ποιμανδρίαν
στεφηφόρον βοῶ δεινὸς ἄρταμος δράκων,
ῥαίσει τριπάτρῳ φασγάνῳ κανδάονος,
λύκοις τὸ πρωτόσφακτον ὅρκιον σπάσας
σὲ δ' ἀμφὶ κοίλην αἰχμάλωτον ἠϊόνα,
πρέσβυν δολόσκων δημόλευστον ὠλένη,
ἐπεσβόλοις ἀραῖσιν ἠρεθισμένην
κρύψει κυπάς τις χερμάδων ἐπομβρία,

μαίρας ὅταν φαιουργὸν ἀλλάξῃς δομὴν
ὅδ' ἀμφὶ τύμβῳ τἀγαμέμνονος δαμείς,
κρηπῖδα πηγῶν νέρθε καλλιωεῖ πλόκω
ὁ προσκαλύπτρης τῆς ὁμαίμονος τάλας
ὠνητὸς αἰθαλωτὸν ἐς πάζαν μολὼν,
τὸν πρὶν δ' ἀμυδρὸν οὔνομ' ἀϊστώσας σκότῳ
ὅταν χέλυδρος πυρσὸν ὠμόθειξ βαρὺν
ἀπεμπολητὴς τῆς φυταλμίας χθονὸς,
φλέξας τὸν ὠδίνοντα μυρμωτὸν λόχον,
ἀναψαλάξῃ γαστρὸς ἑλκύσας ζυγὰ
τῆς σισυφείας δ' ἀγκύλης λαμπουρίδος,
λάμψει κακὸν φρύκτωρον αὐτανέψιος,
τοῖς εἰς στενὴν λεύκοφρυν ἐκπεπλευκόσι,
καὶ παιδοβρῶτος πόρκεως νήσους διπλᾶς
ἐγὼ δὲ τλήμων ἡ γάμους ἀρνουμένη,
ἐν παρθενῶνος λαΐνου τυκίσμασιν
ἄνις τεράμνων, εἰς ἀνώροφον στέγην
εἱρκτῆς ἀλυβδήσασα λυγαίας δέμας,
ἣ τὸν θοραῖον πτῷον ὠρίτην θεὸν
λίπτοντα λέκτρων ἐκβαλοῦσα δεμνίων,
ὡς δὴ κόρειαν ἄφθιτον πεπαμένη
πρὸς γῆρας ἄκρον, παλλάδος ζηλώμασι
τῆς μισονύμφου λαφρύας πυλαίτιδος,
τῆμος βιαίως φάσσα πρὸς τόργου λέχος
γαμφαῖσιν ἅρπης οἰνὰς ἑλκυσθήσομαι,
ἣ πολλὰ δὴ βούδειαν αἴθυιαν κόρην,

ἀρωγὸν αὐδάξασα πάρθενον γάμων.
ἣ δ' εἰς τὸ ῥάμνα δουρατογλύφου στέγης
γλήνας ἀναστρέψασα, χώσεται στρατῷ,
ἐξ οὐρανοῦ πεσοῦσα καὶ θρόνων Διὸς,
ἄνακτι πάππῳ χρῆμα τιμαλφέστατον
ἑνὸς δὲ λώβης ἀντὶ μυρίων τέκνων
Ἑλλὰς στενάξει πᾶσα τοὺς κενοὺς τάφους,
οὐκ ὀστοθήκαις χεράδων δ' ἐφειμένους,
οὐδ' ὑστάτην κεύθοντας ἐκ πυρὸς τέφρην
κρωσσοῖσι ταρχυθεῖσαν, ὡς φθιτῶν θέμις,
ἀλλ' οὔνομ' οἰκτρὸν καὶ κενηρίων γραφὰς,
θερμοῖς τεκόντων δακρύοις λελουμένας
παίδων τε καὶ θρήνοισι τοῖς ὁμευνίδων
ὀφέλτα καὶ μύχουρε χεράδων ζάραξ,
σπίλοι τε καὶ ζύγαστα καὶ τραχὺς νέδων,
καὶ πάντα διφρωσσοῖο καὶ διακρίων
σῶλφα καὶ φόρκυνος οἰκητήριον,
ὅσων στεναγμῶν ἐκ βεβρασμένων νεκρῶν
σὺν ἡμιθραύστοις ἰκρίοις ἀκούσετε.
ὅσων δὲ φλοίσβων ῥαχίας ἀνεκβάκχου
δίναις παλιῤῥοίῃσιν ἕλκοντος σάλου
ὅσων δὲ θύννων ἠλοκισμένων ῥαφὰς
πρὸς τηγάνοισι κρατὸς, ὧν καταιβάτης
σκηπτὸς κατ' ὄρφνην χεύσεται δηουμένων,
ὅταν καρηβαροῦντας ἐκ μέθης ἄτων,
λαμπτῆρα φαίνη τὸν ποδηγέτην σκότους

σίντης, ἀγρύπνῳ προσκαθήμενος τέχνῃ.
τὸν δ' οἷα δύπτην κηρύλον διὰ στενοῦ
αὐλῶνος οἴσει κῦμα γυμνίτην φάγρον,
διπλῶν μεταξὺ χοιράδων σαρούμενον·
γυραῖσι δ' ἐν πέτρῃσι τορσαίνων πέτρα,
στάζοντα πόντου, δευτέραν ἄλμην ἀστάσει,
βληθεὶς ἀπ' ὄχθων τῷ τριωνύχῳ δορὶ
ᾧ νιν κολαστὴς δεινὸς τίσας λαφροὺς,
ἀναγκάσει φάλλαισι κοινωνεῖν δρόμου,
κόκκυγα κομπάζοντα μαψαύρας σόβας,
ψυχρὸν δ' ἐπ' ἀκταῖς ἐκβεβρασμένον νέκυν
δελφῖνος, ἀκτὶς σειρίου καταυανεῖ.
τάρχον ἐν μνίοις δὲ καὶ βρύοις σαθρὸν
κρύψει κατοικτίσασα νησαίας κάσις,
δίσκου μεγίστου τάρροθος κωμαιθέως
τύμβος δὲ γείτων ὄρτυγος πετρουμένοις
τρέμων φυλάξει ῥόχθον αἰγαίας ἁλὸς
τὴν κασνίαν δὲ καὶ μελινναίαν θεὸν,
λυπρὸς παρ' ἄδην δεννάσει κακοῤῥόθων
ἡ μὲν παλύσει δυσλύτοις οἴστρου βρόχοις,
ἔρωτας οὐκ ἔρωτας ἀλλ' ἐρινύων
πικρὰν ἀποψείλασα κηρουλκὸν πάγην.
ἅπασα δ' ἄλγη δέξεται κωκυμάτων,
ὅσην ἀραῦθος ἐντὸς, ἡ δὲ δύσβατοι
λειβήθριαι σφίγγουσι δωτίου πύλαι.
οἷς οὐμὸς ἔσται κἀχερουσίαν πάρα

ἐν ᾗ μῖνα δαρὸν ἐστεναγμένος γάμος.
πολλῶν γὰρ ἐν σπλάγχνοισι τυμβευθήσεται
βρωθεὶς πολυστίχοισι. καμπέων γνάθοις
νήριθμος ἑσμός. οἳ δ᾽ αὖθι ξένης ξένοι
παρ᾽ ὧν ἐρῆμοι δεξιώσονται τάφους.
τὸν μὲν γὰρ ἠὼν στρυμόνος βυσαλτία
ἀψινθίων ἄγχουρος ἠδὲ βισόνων
κυνοσσόφον πάγουρον, ἠδωνῶν πέλας,
κεύψει, πρινὴ τυμφρηστὸν αὐγάσαι λέπας,
τὸν πατρὶ πλεῖστον ἐστυγημένον βροτῶν
ὅμηρον ὅς μιν θῆκε τυφλώσας λύχνους,
ὅτ᾽ ἐς νόθον φήρωνος εὐνάσθη λέχος.
τρισσοὺς δὲ ταχύσσουσι κνηκάφου νάπαι
καύηκας, οὐκ ἄπωθεν ἀλέντρος ποτῶν.
τὸν μὲν, μολοσσοῦ κυπέως κοίτου κύκνον,
συὸς παρασπλαγχθέντα θηλείας τόκων,
ὅτ᾽ εἰς ὀλωύθων δῆριν ἑλκύσας σοφὴν
τὸν αἰθάμυλλον, αὐτὸς ἐκ μαντευμάτων
σφαλείς, ἰαύσει τὸν μεμορμένον πότμον.
τὸν δ᾽ αὖ τέταρτον ἐγγόνων ἐρεχθέως
αἴθωνος αὐτάδελφον ἐν πλασταῖς γραφαῖς.
τρίτον δὲ, τοῦ μόσυνας ἐκ τήνων ποτὲ
στερρᾷ δικέλλῃ βουσκαφήσαντος γόνον.
ὃν γογγυλάτης εἷλε βουλαῖος μυλεύς,
ἀγηλάτῳ μάστιγι συνθραύσας κάραν.
ἧμος ξυναίμους παῖδας αἱ νυκτὸς κόραι,

πρὸς αὐτοφόντου στῆνον ὤπλισαν μόρου.
δοιοὶ δὲ ῥείθρων πυράμου πρὸς ἐκβολαῖς,
αὐτοκτόνοις σφαγαῖσι δηραίου κυνῶν
δμηθέντες. αἰχμάσουσι λοισθίαν βοὴν,
πύργων σάρπὸ πτόρνησι παμφύλου κόρης.
αἰπὺς δ' ἀλιβρὼς ὄχμος ἐν μεταιχμίῳ
μέγαρσος ἀγνῶν ἠρίων σταθήσεται,
ὡς μὴ βλέπωσι μὴ δὲ νέρτερων ἕδρας,
δύντες φόνῳ λουθέντες ἀλλήλων τάφους
οἱ πέντε δὲ σφήκειαν εἰς κερασίαν
καὶ σάταχον βλώξαντες ὑλάτου τε γῆν,
μορφὼ παροικήσουσι τὴν ζηρυνθίαν.
ὁ μὲν παιδὸς μομφαῖσιν ἠλαστρημένος.
κυγχρῆος ἄντρων βωκάρου τε ναμάτων,
οὐ μὸς ξυναίμος, ὡς ὁ πατρὸς φονεὺς
πώλου, νόθον ῥίτυμα συγγενῶν βλάβη,
τοῦ λύσαν ἐν πρίμνησιν αἰχματηρίαν
χέαντος. ὃν χάρωνος ὠμηστοῦ δορὰ
χαλκῷ τορητὸν οὐκ ἔτευξεν ἐν μάχῃ
μίαν πρὸς ἅδην καὶ φθιτοὺς πεπαμένον
κέλευθον. τὴν γωρυτὸς ἔκρυψε σκύθης,
ἧμος καταίθων θύσθλα κωμύρῳ λέων
σφῶ πατρὶ λάσκε τὰς ἐπηκόους λιτὰς
σκύμνον παρ' ἀκάλησιν ἀέτου βεάσας.
οὐ γάρ τι πείσει ῥίτυν, ὡς ὁ λήμνιος
πρηστὴρ ἐνυοῦς οὔ ποτ' ἐς φύξαν στραφεὶς

ταῦρος βαρύφρων, δυσμενεστάτου ξένων
ἔτυψε δώρῳ σπλάγχνον, ἀρνεύσας λυγρὸν
πήδημα πρὸς κνώδοντος αὐτουργοῦ σφάσας
ἐλᾷ δὲ, πάτρας τῆλε στραμβήλου κάσιν.
ὃν ἡ ξυνάιμος παιδὸς ἐκλοχεύεται,
δοθεῖσα πρωταίχμια τῷ πυργοσκάφῳ
ἣν δή ποτ' ἐν ῥήξησι δημοτῶν σταθεὶς,
γλαυκῷ κελαινὸν δέρτρον ὤζλυνεν καὶ
στεῖλαι, τρισπλᾶς θύγατρας ὁσπείρας βάβαξ,
τῷ πᾶσαν ἅλμῃ πηλοποιοῦντι χθόνα,
ὅταν κλύδωνας ἐξεβρύγηται γνάθων
λαύρως σαλεύων πᾶν τρικυμίᾳ πέδον
ὃ δ' ἀντὶ πιπλοῦς σκορπίου λαιμῷ σπάσας,
φόρκῳ κακῆς ὠδῖνος ἔκλαυσε βάρος,
χρήζων πυθέσθαι πημάτων ξυμβουλίαν.
ὁ δεύτερος δὲ νῆσον ἀγρότης μολὼν.
χερσαῖος αὐτόδαικτος, ἐκγόνων δρυὸς
λυκαινομόρφων νυκτίμου κρεανόμων,
τῶν πρόσθε μήνης φηγίνων πύρνων ὀχὴν
σποδῷ κατ' ἄκρον χεῖμα θαλψάντων πυρὸς,
χαλκωρυχήσει· καὶ τὸν ἐκ βόθρου σπάσει
βῶλον, δικέλλῃ πᾶν μεταλλεύων γνύθος
οὗ φίτυν ὠάειξεν οἱ ταῦρος στόνυξ,
βουβῶνος ἐν τόρμαισι θρυλλίξας δέμας.
ἄγνω δ' ὁ τλήμων (ἐν κακῷ μαθὼν ἔπος,
ὡς πολλὰ χείλευς καὶ δεπαστραίων ποτῶν

μέσον κυλίνδει μοῖρα παμμήτωρ βροτῶν.
ὁ δ᾽ αὖτ᾽ ἀριστῶν πᾶς Φαληρειῶν λύθρῳ
στόρθυγξ, δεδουπὼς τὸν κτανοῦντ᾽ ἠμύνατο,
πλήξας ἀφύκτως ἄκρον ὀρχηστοῦ σφυρόν.
τρίτος δὲ τοῦ μάρψαντος ἐκ κοίλης πέτρας
κέλωρ γίγαντος ὅπλα. τόν ποτ᾽ εἰς λέχος
λαθραῖον αὐτόκλητος Ἰδαία πόρις.
ἡ ζῶσ᾽ ἐς ᾅδην ἵξεται καταιβάτις,
θρήνοισιν ἐντακεῖσα μουνίτου τοκὰς
ὃν δή ποτ᾽ ἀγρώσσοντα Κρηστώνης ἔχις
κτενεῖ, παταξάσ᾽ πτέρναν ἀγρίῳ βέλει.
ὅταν τεκόντος αἰχμάλωτος ἐς χέρας
ἡ παιδομήτωρ τὸν δνόφῳ τεθραμμένον
βάλῃ νεογνὸν σκύμνον· ἢ μόνη ζυγὸν
δούλειον ἀμφήρεισαν ἀκταίων λύκοι.
τῆς ἁρπαγείσης ἀντίποινα θυάδος.
ὧν ὀστράκου στρόβυλος ἐντετμημένος,
κόρσην σκεπάσει ῥυμαφονίου δορός.
τὰ δ᾽ ἄλλα θειόβρωτος ἄψαυστος δόμων
σφραγὶς δοκεύσει θάμβος ἐγχώροις μέγα.
ἃ δὴ πρὸς ἄστρων κλίμακας στήσει δρόμον
τοῖς ἡμιθνήτοις διπτύχοις λαπερσίοις.
οὓς μή ποτ᾽ ὦ Ζεῦ σῶτερ ἐς πάτραν ἐμὴν
στείλαις ἀρωγοὺς τῇ δυσαρπάκτῳ κρεκί.
μὴ δὲ πτερωτὰς ὁπλίσαντες ὁλκάδας,
τρύμνης ἀπ᾽ ἄκρας γυμνὸν αἰψηρὸν πόδα
εἰς

εἰς βεβρύκων ῥίψειαν ἐμβατηρίαν.
μὴ δ᾽ οἱ λεόντων τῶνδε καρτερώτεροι,
ἀλκὴν ἄμικτοι· τοὺς ἄρης ἐφίλατο,
καὶ δ᾽ ἐνυώ, καὶ τειγένητος θεὰ
βοαρμία λογγάτις ὁμολωῒς βία.
οὐκ αὖ τά, χειρώνακτες ἐργάται διπλοῖ,
δρύμας τε καὶ πρόφαντος ὁ κρώμνης ἄναξ
ἐλατύπησαν κοιράνῳ ψευδωμότῃ,
ἓν ἦμαρ ἀρκέσειε πορθηταῖς λύκοις,
στέρξαι βαρεῖαν ἐμβολὴν ῥαιστηρίαν,
καὶ τὸν πρὸ πύργων τὸν κανάστραιον μέγαν,
ἐγχώριον γίγαντα δυσμενῶν μοχλὸν
ἔχοντα, καὶ τὸν πρῶτον εὐστόχῳ βολῇ
μαιμῶντα τύψαι ποιμνίων ἀλάστορα.
οὐ δή ποτ᾽ αἴθων πρῶτα καινίσει δόρυ,
κέρχνος θρασὺς πήδημα λαιψηρὸν δικών,
γραικῶν ἄρειστος· ᾧ πάλαι τεύχει τάφους,
ἀκτὴ δολόγχων εὐπρεπὴς κεκμηκότι,
μαζουσία προὔχουσα χερσαίου κόδρως.
ἀλλ᾽ ἔστι γάρ τις ἔστι καὶ παρ᾽ ἐλπίδα
ἡμῖν ἀρωγὸς προθυμενὴς ὁσφύμιος
δαίμων, προμανθεύς, αἰθίοψ, γυράψιος.
ὃς τὸν πλανήτην ὀρθὰ γῆν ὅταν δόμοις
σίντην καταρακτῆρα δέξωνται πικρὸν,
οἱ δεινὰ κἀπόθεστα πείσεσθαι ποτὲ
μέλλοντες, εἴ τε δαιτὶ καὶ θαλασσίοις

λοιβαῖσι μειλίσσωσιν ἀσβῆ γῆ κεάσον,
θήσει βαρειῶ κολωὸν ἐν λέχαις μέσον.
καὶ πρῶτα μὲν μύθοισιν ἀλλήλους, ὀδὰξ
βρύξουσι κηκασμοῖσιν ὠκειωμένοι.
αὖθις δ' ἐν αἰχμάσουσιν αὐτανέψιοι,
αἰνεψιαῖς ὄρνισι χραισμῆσαι γάμους,
βιαιοκλῶπας ἁρπαγάς τε συγγόνων,
χρήζοντες ἀλφῆς τῆς ἀέλνώτου δίκην
ἢ πολλὰ δὴ βέλεμνα κυνηκέων πόρος
ῥιφέντα τόλμαις αἰετῶν ἐπόψεται,
ἄπιστα καὶ θαμβητὰ φηραίοις κλύειν.
ὁ μὲν, κρανείῳ κοῖλον οὐτάσας στύπος
φηγοῦ κελαινῆς, δίπτυχων ἐνάφθερεῖ
λέοντα ταύρῳ συμβαλόντα φυλόπιν.
ὃ δ' αὖ στιγύμνῳ πλευρ' ἀναρρήξας βοός,
κλινεῖ πρὸς οὖδας. τῷ δὲ, δευτέραν ἰθεῖ
πληγὴν ἀθαμβὴς κεραὸς ἐγκορύψεται,
ἄγαλμα πήλας τῶν ἀμυκλαίων τάφων
ὁμοῦ δὲ χαλκὸς καὶ κεραυνίοι βολαὶ
ταύρους καταξανοῦσιν. ὧν ἀλκὴν ἐνὸς
οὐδ' ὁ σκιαστὴς ὄρχιδος τελφούσιος
ἐμέμψατ', ἐν χάρμαισι ῥαιβώσας κέρας.
καὶ τοὺς μὲν, ἅδης. τοὺς δ' ὀλύμπιοι πλάκες
παρ' ἦμαρ αἰὲν δεξιώσονται ξένους
φιλαυθομαίμους, ἀφθίτους τε καὶ φθιτούς.
καὶ τῶν μὲν ἡμῖν δυνάσει δαίμων δόρυ.

βαιόν τι μῆχαρ ἐν κακοῖς δωρούμενος.
ἄλλων δ' ἄπλατον χειρὶ κινήσει νέφος
ὧν οὐδ' ὁ ῥοιοῦς ἶνις δυνάξων μένος,
χήσω τὸν ἐννέωρον ἐν νήσῳ χρόνον,
μέμψιν ἀϊδώτων, θεσφάτοις πεπεισμένους,
τροφήν τ' ἀμεμφῆ πᾶσι τειπτύχους κόρας
ἴσκων παρέξειν, κληθίαν ὅσοι σκοπὴν
μίμνοντες ἡλάσκουσιν ἰνωποῦ πέλας,
αἰγύπτιον τρίτωνος ἕλκοντος ῥυτόν.
ἃς δὴ πρόβλαστος ἐξεπαίδευσε θρασὺς
μυληφάτου χιλοῖο δαιδαλευτείας,
δρέπειν τε ῥέζειν ἠδ' ἀλοιφαῖον λίπος,
οἰνοτρόπους ζαρῆκος ἐκγόνους φάβας.
αἳ καὶ στρατοῦ βούπειναν ὀθνείων κλυδῶν.
τρύχουσαν ἀλθανοῦσιν, ἐλθοῦσαί ποτε
σιθῶνος εἰς θυγατρὸς δυναστήριον,
καὶ ταῦτα μὲν μέτοισι χαλκέων πάλαι
στρόμβων ἐπιρροιζοῦσι γηραιαὶ κόραι.
κηφεὺς δὲ καὶ πράξανδρος οὐ ναυκληρίας
λαῶν ἄνακτες, ἀλλ' ἀνώνυμοι σποραὶ
πέμπτοι τέταρτοι γαῖαν ἵξονται θεᾶς
γόλγων ἀνάσσης. ὧν ὁ μὲν, λάκων ὄχλον
ἄγων θεράπνης, θάτερος δ' ἀπ' ὠλένου
δύμης τε βουραίοισιν ἡγεμὼν στρατοῦ.
ὁ δ' ἀργυρίππαν δαυνίων παγκληρείαν
παρ' αὔσονι τὴν φυλαμὸν δομήσεται,

πικρὰν ἑταίρων ἐπτερωμένην ἰδὼν
οἰωνόμικτον μοῖραν. οἳ θαλασσίαν
δίαιταν αἰνήσουσι, πορκέων δίκην,
κύκνοισιν ἰνδαλθέντες εὐγλήνοις δομήν.
ῥάμφεσι δ᾽ ἀγρώσσοντες ἐλλόπων θορὺς,
φερώνυμον νῆσον δὲ νάσσονται πρόμου,
θεατρομόρφῳ πρὸς κλίτει γεωλόφῳ,
ἀγγοπλαστήσαντες ἐμπέδοις τομαῖς
πυκνὰς καλιὰς, ζῆθον ἐκμιμούμενοι.
ὁμοῦ δ᾽ ἐς ἄγραν κἀπὶ κοιταίαν νάπην
νύκτωρ στελοῦνται, πάντα φεύγοντες βροτῶν
καρβανον ὄχλον, ἐν δὲ γραικίταις πέπλοις.
κόλπων ἰαυθμοὺς ἠθάδας διζήμενοι.
καὶ κεῖμνα χειρῶν κἀπιδόρπιον ψύφος
μάζης πάσονται, προσφιλὲς κνυζούμενοι
τῆς πρὶν διαίτης τλήμονες μεμνημένοι.
προιζωνίας δὲ θαῦμα, φοιτάδος πλαίνης
ἔσται κακῶν τε πημάτων παραίτιον,
ὅταν θρασεῖα θουρὰς οἰστρήσει κύων
πρὸς λέκτρα. τύμβος δ᾽ αὐτὸν ἐκσώσει μόρου
ὅπλος μίας, σφαγαῖσιν ἠυτρεπισμένον.
κολοσσοβάμων δ᾽ ἐν πτύχαισιν αὐσόνων
σταθεὶς, ὀρέσει κῶλα χερμάδων ἔπι,
τοῦ τειχοποιοῦ δαπέδων ἀμοιβέως,
τὸν δερματίτην νηὸς ἐκβαλὼν πέτρον.
κείσει δ᾽ ἀλαίνου τοῦ κασιγνήτου σφαλεὶς,

εὐχαῖς ἀρούραις ἀμφέτη τύμους βαλεῖ,
δηοῦς ἀνεῖναι μή ποτ᾽ ὄμπνιον στάχυν,
γύας Ἰθαιβώσοντος ἀρδηθμῷ δίου,
ἵν᾽ μή τις αὐτοῦ ῥίζαν αἰπολῶν σπάσας,
χέρσον λαχήνῃ, βουσὶν αὔλακας τεμὼν
στήλαις δ᾽ ἀκινήτοισιν ὀχμάσῃ πέδον
ἃς οὔτις ἀνδρῶν ἐκ βίας καυχήσεται,
μετοχλίσας ὀλίζον. ἡ γὰρ ἀπτόρθως
αὐταὶ παλιμπόρευτον ἕξονται βάσιν,
αἳ δ᾽ ἠρατπέζοις ἴχνεσι δακνύμεναι,
θεὸς δὲ πολλοῖς αἰπὺς αὐδηθήσεται,
ὅσοι παρ᾽ Ἴους γρῶνον οἰκοῦνται πέδον,
δράκοντα τὸν φθείραν ταφαίακας κτανών.
οἳ δ᾽ ἀμφικλύστους χεράδας γυμνησίας,
σισυρνοδῦται καρκίνοι τε πεπλοδυκότες,
ἄχλαινον ἀμπρεύσουσι νήλιπον βίον,
τριπλαῖς δικώλοις σφενδόναις ὡπλισμένοι·
ὧν αἱ τεκοῦσαι τὴν ἑκηβόλον τέχνην·
ἄδορπα παιδεύσουσι νηπίους γόνους·
οὐ γάρ τις αὐτῶν ψίσεται πύρνον γνάθῳ,
πρὶν ἂν κρατήσῃ νασὸν εὐσόχῳ λίθῳ,
ὑπὲρ ζάφηκος σῆμα κείμενον σκοποῦ
καὶ τοὶ μὲν ἀκτὰς ἐμβατήσονται λεπρὰς
ἰβηροβόσκους, ἄγχι ταρτησοῦ πύλης,
ἀρνῆς παλαιᾶς γέννα, τεμμίκων πρόμοι,
γραῖαν ποθοῦντες καὶ λεοντάρνης πάγους·

σκῶλόν τε καὶ τέγυραν ὀγχηστοῦ θ' ἕδος,
καὶ χεῦμα θερμώδοντος ὑψαρνοῦ θ' ὕδωρ.
τοὺς δ' ἀμφὶ σύρτιν καὶ λιβυστικὰς πλάκας,
στενήν τε πορθμοῦ συνδρομὴν τυρσηνικοῦ,
καὶ μιξόθηρος ναυτιλοφθόρους σκόπας,
τῆς πρὶν θανούσης ἐκ χερῶν μηκιστέως
τοῦ στροφοπίπλου σκαπανέως βουαγίδα,
ἁρπυιογούνων κλώμακάς τ' ἀηδόνων
πλαγχθέντας, ὠμόσιτα δαιταλωμένους
πρόπαντας ἅδης πανδοκεὺς ἀγρεύσεται,
λώβαισι παντοίαισιν ἐσπαραγμένους,
οὐχ φθαρέντων ἄγγελον λιπὼν φίλων.
δελφινόσημον κλῶπα φοινίκης θεᾶς.
ὃς ὄψεται μὲν τοῦ μονογλήνου στέγας
χάρωνος, οἴνης τῷ κρεωφάγῳ σκύφον
χερσὶ προτείνων τοὐπιδόρπιον ποτόν.
ἐπόψεται δὲ λείψανον ξυμμάχων
τοῦ κηραμύντου πευκέως παλαίμονος
οἳ πάντα θρανύξαντες εὐτόρνῳ σκάφει.
χοίνω καλὴν ζήσουσι κεστρέων ἄγρην.
ἄλλος δ' ἐπ' ἄλλῳ μόχθος ἄθλιος μενεῖ,
τοῦ πρόσθεν αἰεὶ πλεῖον ἐξωλέστερος.
ποία χάρυβδις οὐχὶ δαίσεται νεκρῶν,
ποία δ' ἐριννὺς μιξοπάρθενος κύων.
τίς οὐκ ἀηδὼν στεῖρα κενταυροκτόνος
αἰτωλὶς ἢ κουρῆτις αἰόλω μέλλει,

πείσει ταχῆναι σάρκας ἀκμήνους βορᾶς
σίτου δὲ θηρόπλαστον οὐκ ἐσόψεται
δράκαιναν ἐκκνώσασαν ἀλφίτῳ θρόνα,
καὶ κῆρα κνωπόμορφον οἱ δὲ δύσμοροι
στένοντες ἄτας ἐν συφοῖσι φορβάδες,
γίγαρτα χιλῷ συμμεμιγμένα ζυγὸς
καὶ στέμφυλα βρώξουσιν· ἀλλά νιν βλάβης
μῶλυ σαώσει ῥίζα καὶ κτάρος φανεὶς,
νωνακριάτης τρικέφαλος φαιδρὸς θεός
ἥξει δ' ἐρεμνὸν εἰς ἀλίπεδον φθιτῶν
καὶ νεκρόμαντιν πέμπελον διζήσεται,
ἀνδρῶν γυναικῶν εἰδότα συνουσίας.
ψυχαῖσι θερμὸν αἷμα προσραίνας βόθρῳ
καὶ φασγάνου πρόβλημα νερτέροις φόβον
πήλας, ἀκούσει κεῖθι πεμφίδων ὄπα
λεπτὴν, ἀμυδροῦ μάστακος προσφθέγμασιν
ὅθεν γιγάντων νῆσος ἡ μετάφρενον
θλάσασα, καὶ τυφῶνος ἀγρίου δέμας,
φλογμῷ ζέουσα, δέξεται μονόστολος.
ἐν ᾗ πιθήκων παλμὺς ἄφθιτον γένος
δύσμορφον εἰς κηκασμὸν ὤκισεν τόσον,
οἳ μῶλον ὠρόθυναν ἐκγόνοις κρόνου.
βαιοῦ δ' ἀμείψας τοῦ κυβερνήτου τάφον,
καὶ κιμμερῶν ἔπαυλα καὶ χερσίαν·
ῥόχθοισι κυμαίνουσαν οἴδματος χύσιν,
ὄσσαν τὲ καὶ λέοντος ἀζαλοῦς βοῶν

χωστὰς, ὅθ' εἱμοῦς τ' ἄλσος οὐδαίας κόρης
πυριφλεγέθ τε ῥεῖθρον, ἔνθα δύσβατος
τείνει πρὸς αἴθραν κρᾶτα πολυδέγμων λόφος.
ἐξ οὗ τὰ πάντα χύτλα καὶ πᾶσα μυχῶν
πηγαὶ, κατ' αὐσονῖτιν ἕλκονται χθόνα,
λιπών τε ληθαιῶνος ὑψηλὸν κλίτας,
λίμνην τ' ἄορνον ἀμφιτορνωτῷ βρόχῳ,
καὶ χεῦμα κωκυτοῖο λαβρωθὲν σκότῳ,
στυγὸς κελαινῆς νασμὸν, ἔνθα τερμιεὺς
ὁρκωμότους ἔτευξεν ἀφθίτοις ἕδρας,
λοιβὰς τ' ἀφύσσων χρυσέαις πέλλαις γάνος,
μέλλων γίγαντας κἀπὶ τιτᾶνας περᾶν,
θήσει δαείρα καὶ ξυνευνέτῃ δάνος,
πήληκα κόρσῃ κίονος προσαρμόσας
κτενεῖ δὲ κούρας τηθύος παιδὸς τριπλᾶς,
οἵμας μελῳδοῦ μητρὸς ἐκμεμαγμένας,
αὐτοκτόνοισι ῥιφαῖσιν ἐξ ἄκρας σκοπῆς,
τυρσηνικὸν πρὸς κῦμα δυσπλούσας πτεροῖς.
ὅπου λινοργὸς κλῶσις ἑλκύσει πικρά.
τὴν μὲν, φαλήρου τύρσις ἐκβεβρασμένην
γλάνις τε ῥείθροις δέξεται, τέγγων χθόνα
οὗ σῆμα δωμήσαντες ἐγχώριοι κόρης,
λοιβαῖσι καὶ θύσθλοισι παρθενόπην βοῶν
ἔτεια κυδανοῦσιν οἰωνὸν θεάν
ἀκτὴν δὲ τὴν προύχουσαν εἰς ἐνιπέως
λευκωσία ῥιφεῖσα, τὴν ἐπώνυμον

πέτραν ὀχήσει δαιρόν· ἔνθα λάβρος Ἶς
γείτων θ' ὁ Λάκις, ἐξερεύγονται ποτά·
λίγεια δ' εἰς τόρειαν ἐκναυσθλώσεται,
κλύδωνα χελλύσσουσα. τὴν δὲ, ναυάται
κρόκαισι ταρχύσουσιν ἐν παρακτίαις,
ὠκινάρου δίναισιν ἀγχιτέρμονα·
λούσει δὲ σῆμα βούκερως νασμοῖς Ἄρης
ὀρνιθόπαιδος ἶσμα φοιβάζων ποτοῖς
πρώτη δὲ καί ποτ' αὖθις συγγόνων θεᾷ
κραίνων ἁπάσης Μόψοπος ναυαρχίας,
πλωτῆρσι λαμπαδοῦχον ἐντυνεῖ δρόμον,
χρησμοῖς πιθήσας· ὅν ποτ' αὐξήσει λεὼς
Νεαπολιτῶν· οἳ παρ' ἄκλυστον σκέπας
ὅρμων Μισηνοῦ στύφλα νάσσονται κλίτη.
βύκτας δ' ἐν ἀσκῷ συγκατακλείσας βοὸς
πάλιν στροβήτης πημοναῖς ἀλώμενος,
κεραυνίῃ μάστιγι μαστιχθήσεται,
κάβηξ ἐρινοῦ προσκαθήμενος κλάδῳ,
ὡς μὴ καταβρώξῃ μιν ἐν ῥόχθοις κλύδων.
χάρυβδιν ἐκφυσῶσαν ἑλκύσας βυθῶν
βαιὸν δὲ τερφθεὶς τῆς Ἀτλαντίδος δόμοις,
ἐναυλόχητον αὐτόκαυδαλον σκάφος,
βῆναι ταλάσσει, καὶ κυβερνήσει τάλας,
αὐτουργότευκτον βαρὶν ἐς μέσην τρόπιν,
εἰκαῖα γόμφοις προσταραγνωμένην·
ἤ σ' οἷα τυτθὸν ἀμφίβαιος ἐκβράσας

τῆς κηρύλου δάμαρτος ἀπλῶα πόρον,
αὐταῖς μεσόδμαις καὶ σὺν ἰκρίοις βαλεῖ,
πρὸς κῦμα δύπτην ἐμπεπλεγμένον κάλοις.
πόντου δ᾽ ἄϋπνος ἐν σαρούμενος μυχοῖς,
ἀστῶ σύνοικος θρακίας ἀηδόνος
ἔσται. παρ᾽ ἄλλου δ᾽ ἄλλος ὡς πεύκης κλάδον
βύκτης στροβήσει φελλὸν ἐν θρώσκων πνοαῖς.
μόλις δὲ βαιῶς ἐκπαλιῤῥοίας κακῆς
ἄμπυξ σαώσει στέρνα δεδρυφαγμένον
καὶ χεῖρας ἄκρας, αἷς κρεαγρέπτους πέζας
μαρπτῶν, ἁλιβρώτοισιν αἱ μαχθήσεται
στόρθυγξι. νῆσον δ᾽ εἰς κρόνῳ στυγουμένην
ἅρπην πεφράσας μεζέων κρεανόμον,
ἄχλαινος ἵκτης πημάτων λυγρῶν κόπις,
τὸν μυθοπλάστην ἐξυλακτήσει γόον,
ἀρὰς πατρικῶς τοῦ τυφλωθέντος δάκνους.
οὔ πω μάλ᾽ οὔπω, μὴ τόσος δ᾽ ὕπνος λάβοι
λήθης μέλανθρον ἐγκλιθένθ᾽ ἱππηγέτην
ἥξει γὰρ ἥξει ναύλοχον ῥεέθρου σκέπας,
καὶ νηρίτου πρηῶνας. ὄψεται δὲ πᾶν
μέλανθρον ἄρδην ἐκ βάθρων ἀνάστατον
μύκλοις γυναικόκλωψιν. ἡ δὲ βασσάρα
σεμνῶς κασωρεύουσα, κοιλανεῖ δόμους,
θοίναισιν ὄλβον ἐκχέασα τλήμονος.
αὐτὸς δὲ πλείους τῶν ἐπὶ σκαιαῖς πόνους
ἰδὼν μολοβρὸς, τλήσεται μὲν οἰκετῶν

στυγνὰς ἀπειλὰς εὐλόφω νώτω φέρειν,
δύννοισι κολασθείς. τλήσεται δὲ καὶ χερῶν
πληγαῖσιν ὑπείκειν, καὶ βολαῖσιν ὀστράκων.
οὐ γὰρ ξέναι μάστιγες. ἀλλὰ δεψάλης
σφραγὶς μενεῖ θόαντος ἐν πλευραῖς ἔτι,
λύγοισι τετρανθεῖσα. τὰς ὀλυμεῶν
ἐσσκολάπτειν ἀστένακτος αἰνέσει.
ἑκουσίαν σμώδιγα προσμάσσων δομῇ,
ὅπως παλεύσῃ δυσμενεῖς κατασκόποις
λώβαισι καὶ κλαυθμοῖσι φηλώσας πρόμον.
ὃν βομβυλείας κλιτὺς ἡ τεμμικία,
ὕψιστον ἡμῖν πῆμ' ἐτέκνωσέ ποτε.
μόνος πρὸς οἴκους ναυτίλων σωθεὶς τάλας
λοῖσθον δὲ κάβηξ ὥστε κυμάτων δρομεύς.
ὡς κόγχος ἅλμῃ πάντοθεν περιτριβεὶς,
κτῆσιν τε θοίναις πρωνίων λαφυστίαν
πρὸς τῆς λακαίνης αἰνοβακχεύτου κιχὼν,
σύφαρ θανεῖται, πόντιον φυγὼν σκέπας,
κόραξ σὺν ὅπλοις νηρίτων δρυμῶν πέλας
κτενεῖ δὲ τύψας πλευρὰ λοίγιος στόνυξ
κέντρω δυσαλγὴς ἔλλοπος σαρδωνικῆς.
κέλτρων δὲ πατρὸς ἄρταμος κληθήσεται,
ἀχιλλέως δάμαρτος αὐτανέψιος.
μάντιν δὲ νεκρὸν εὐρυτὰν στέψει λεὼς,
ὅτ' αἰπὺ ναίων τραμπύας ἐδέθλιον.
ἐν ᾗ ποτ' αὖθις ἡρακλεῖ φθίσει δράκων

τυμφαῖος ἐν θοίναισιν αἰθίκων πρόμος,
τὸν αἰακοῦ τε κἀπὸ περσέως σπορᾶς·
καὶ τημενείων οὐκ ἄπωθεν αἱμάτων
πέργη δέ μιν θανόντα τυρσηνῶν ὄρος,
ἐν γορτυνίᾳ δέξεται πεφλεγμένον.
ὅταν στενάζων κῆρας, ἐκπνεύσῃ βίον,
παιδός τε καὶ δάμαρτος ἣν κτείνας πόσις,
αὐτὸς πρὸς ᾅδην δευτέραν ὁδὸν περᾷ,
σφαγαῖς ἀδελφῆς ἠλοκισμένος δέρην,
γλαύκωνος ἀψύρτοιο τοῦ πανελλίας.
χὠ μὲν χρυσοῦχον θῖνα πημάτων ἰδών.
ἄστρεπτον ᾅδην δύσεται τὸ δεύτερον,
γαληνὸν ἦμαρ οὔ ποτ' ἐν ζωῇ δρακών.
ὦ σχέτλι', ὥς σοι κρεῖσσον ἦν μίμνειν πάτρᾳ
βοηλατοῦντι, καὶ τὸν ἐργάτην μύκλον
κάνθων' ἄπο ζεύγλῃσι μεσσαβοῦν ἔτι,
πλαστοῖσι λύσσης μηχαναῖς οἰστρημένῳ,
ἢ τηλικῶν δὲ πεῖραν ὀτλῆσαι κακῶν
ὅδ' αἰνόλεκτρον ἁρπαγεῖσαν εὐνέτης
πλάτιν ματεύων κληδόνων πεπυσμένος,
πορθῶν δὲ φάσμα πτηνὸν εἰς αἰθέραν φυγὸν,
ποίους θαλάσσης οὐκ ἐρευνήσει μυχούς.
ποίαν δὲ χέρσον οὐκ ἀνιχνεύσει μολών.
ἐπόψεται μὲν πρῶτα τυφῶνος σκοπάς.
καὶ πέμπελον γραιῶν μαρμαρουμένην δέμας.
καὶ τὰς ἐρεμβῶν ναυάτας ἠχθημένας.

προβλῆτας ἀκτάς. ὄψεται δὲ τλήμονος
Μύῤῥας ἐρυμνὸν ἄστυ. τῆς μογοστόκους
ὠδῖνας ἐξέλυσε δενδρώδης κλάδος.
καὶ τὸν θεᾷ κλαυσθέντα γαύαντος τάφον,
χοινίδι μουσόφθαρτον ἀρσένα ξένη
κραντῆρι λευκῷ τόν ποτ' ἔκτανε πτέλας.
ἐπόψεται δὲ τυρσίας κηφηΐδας,
καὶ λαφρίου λακτίσμαθ' ὀρμέου ποδὸς,
δισσάς τε πέτρας. κέπφος αἷς προσήλατο,
δαίτης χατίζων. ἀντὶ θηλείας δ' ἔβη,
τὸν χρυσόπαστον μόρφον ἁρπάσας γνάθοις,
τὸν ἢ παχυργὸν ἄρσεν' ἀρβουλόπτερον.
πεφήσεται δὲ τοῦ θεριστῆρος ξυρῷ,
φάκαινα δυσμίσητος ἐξινωμένη,
ἱπποβρότους ὠδῖνας οἴξαντος τόκων,
τῆς δειρόπαιδος μαρμαρώπιδος γαλῆς.
ὃς ζωοπλαστῶν ἄνδρας ἐξ ἄκρου ποδὸς
ἀγαλματώσας ἀμφελυτρώσει πέτρων,
λαπτηροκλέπτης τριπλανοῦς ποδηγίας
ἐπόψεται δὲ τὰς θερειπότους γύας,
καὶ ῥεῖθρον ἀσβύσταο καὶ χαμευνίδας
εὐνὰς, δυσόδμοις θηρσὶ συγκοιμώμενος.
καὶ πάντα τλέσεθ' εἵνεκ' ἀργείους κυνὸς
τῆς θηλύπαιδος καὶ τριάνορος κόρης.
ἥξει δ' ἀλήτης εἰς ἰαπύγων στρατὸν
καὶ δῶρ' ἀνάψει παρθένω σκυλητρία,

ταμάσιον κρατῆρα, καὶ βοάγριον,
καὶ τὰς δάμαρτος ἀσκέρας εὐμαρίδας·
ἥξει δ᾽ ἐς σῖριν καὶ λακινίου μυχοὺς
ἐν οἷσι πόρτις ὄρχατον τεύξει θεᾷ
ὁπλὸς μία φυτοῖσιν ἐξησκημένον.
γυναιξί τ᾽ ἔσται τεθμὸς ἐγχώροις ἀεὶ
πενθεῖν τὸν εἰνάπηχυν αἰακοῦ τρίτον.
καὶ δωρίδος, πρηστῆρα δαΐου μάχης,
καὶ μήτε χρυσῷ φαιδρὰ καλλύνειν ῥέθη,
μήθ᾽ ἁβροπήνους ἀμφιβάλλεσθαι πέπλους
κάλχῃ φορυκτούς, οὕνεκα θεᾷ θεὸς
χέρσου μέγαν στόρθυγγα δωρεῖται κτίσαι.
ἥξει δὲ ταύρου γυμνάδας κακοξένους
πάλης κονίστρας, ὅν τε κωλῶτις τεκνοῖ.
ἀλεντία κρείουσα λογγούρου μυχῶν,
ἀφ᾽ ἧς κρόνου πήδημα κογχείας θ᾽ ὕδωρ
κάμψας γονοῦσάν τ᾽ ἠδὲ σικανῶν πλάκας,
καὶ θηροχλαίνου σηκὸν ὠμηστοῦ λύκου.
ὃν κρηθέως ἄμναμος ὁρμίσας σκάφος
ἔδειμε πεντήκοντα σὺν ναυπηγέταις.
κρόκαι δὲ μινυῶν εὐλιπῆ στελγίσματα
τηροῦσιν· ἅλμης οὐδὲ φοιβάζει κλύδων·
οὐδ᾽ ὀμβρία σμήχουσα δηναιὸν νιφάς.
ἄλλους δὲ θῖνες· οἵ τε τευχείρων πέλας
μύρμηκες αἰάξουσιν ἐκβεβρασμένους.
βρῆμον εἰς ἄτλαντος οἰκητήριον,

θρυλιγμάτων δέρξοισι προσσεσηρότας·
μόμψοντι ταυρώνιον ἔνθα ναυάται
θανόντα ταρχύσαντες· τυμβείαν θ' ὕπερ·
κρηπῖδ' ἀνεστήλωσαν ἀργώου δορὸς,
κλασθὲν πέτευρον νερτέρων κειμήλιον
αὐσίγδα κινύφειος ἣν τέγγων ῥόος
νασμοῖσι λιπαίνει· τῷ δὲ νηρέως γόνῳ
τρίτωνι κολχὶς ὤπασεν δάνος γυνὴ,
χρυσῷ πλατὺν κρατῆρα κεκροτημένον·
δείξαντι πλωτὴν οἶμον· ᾗ διὰ στενῶν
μύρμων ἐνήσει τίφυς ἄθραυστον σκάφος.
γραικοὺς δὲ χώρας τούτακις λαβεῖν κράτη,
θαλασσόπαις δίμορφος αὐδάξει θεὸς,
ὅταν παλίμποινον δῶρον ἄγραυλος λεὼς
ἑλλην ὀρέξῃ νοσφίσας πάτρας λίβυς.
εὐχὰς δὲ δειμαίνοντες ἀσβύσται, κτέαρ
κρύψουσ' ἄφαντον ἐν χθονὸς νειροῖς μυχοῖς
ἐν ᾗ κυφαίων δύσμορον στρατηλάτην.
ναύταις συνεκβράσσουσι βορραῖαι πνοαί.
τόν τ' ἐκ παλαίθρων ἔκγονον τενθρηδόνος,
ἀφρυσσίων σκηπτοῦχον εὐρυαμπίων·
καὶ τὸν δυνάστην τοῦ πετρωθέντος λύκου,
ἀποινοδόρπου καὶ πάτων τυμφρηστίων
ὧν οἱ μὲν αἰτώνειαν ἀθλιοπάτραν
ποθοῦντες, οἱ δ' ἔχινον, οἱ δὲ, τίταρον
ἶρόν τε, καὶ τρηχῖνα, καὶ περραιβικὴν,

γόνον, φαλανόν τ', ἠδ' ὁ λοσσόνων γύας,
καὶ κατανάιαν, ἀκτέριστον ἐν πέτραις
αἰῶνα κωκύσουσιν ἠλοκισμένοι
ἄλλῳ δ' ἐπ' ἄλλῃ κῆρα κινήσει θεὸς,
λυγρὴν πρὸ νόστου συμφορὰν δωρούμενος·
τὸν δ' αἰσάρου τε ῥεῖθρα καὶ βραχύπτολις
οἰνωτρίας γῆς κεγχρίνῃ βεβρωμένον
κρίμισα φιτροῦ δέξεται μιαιφόνον
αὕτη γὰρ ἄκραν ἄρδιν εὐθυνεῖ χεροῖν,
σάλπιγξ ἀποψάλλουσα μαιώτην πλόκον
δύρα παρ' ὄχθαις ὅς ποτε φλέξας θρασὺν
λέοντα, ῥαιβῷ χεῖρας ὥπλισε σκύθη
δράκοντ' ἀφύκτων γομφίων λυροκτύπῳ
κρᾶθις δὲ τύμβους ὄψεται δεδουπότος,
εὐρὰξ ἀλαίου παταρέως ἀνακτόρων
ναύαιθος ἔνθα πρὸς κλύδων' ἐρεύγεται.
κτενοῦσι δ' αὐτὸν αὔσονες πελλήνιοι,
βοηδρομοῦντα λινδίων στρατηλάταις.
οὓς τῆλε θερμύδρου τε καρπάθου τ' ὀρῶν,
πλανήτας αἴθων θρασκίας πέμψει κύων,
ξένην ἐποικήσοντας ὀθνείαν κόνιν
ἐν δ' αὖ μακάλλοις σηκὸν ἔγχωρον μέγαν
ὑπὲρ τάφων δείμαντες, αἰανῆ θεὸν
λοιβαῖσι κυδανοῦσι καὶ θύσθλοις βοῶν.
ὁ δ' ἱπποτέκτων λαγαρίας ἐν ἀγκάλαις,
ἔγχος τρεφεικὼς καὶ φάλαγγα θουρίαν,

πατρῷον

πατρῷον ὅρκον ἐκτίνων ψευδώμοτον,
ὃν ἀμφὶ μήλων τῶν δορυκτήτων τάλας.
πύργων Κομαιθοῦς, συμπεφυρμένων στρατῷ,
στεργοξενεύνων οὕνεκα νυμφευμάτων,
ἀλοῖτιν ἔτλη τὴν Κλυδωνίαν θρασὺ
ὁρκωμοτῆσαι, τόν τε Κρηστώνης θεὸν
Κανδάον ἢ Μάμερτον ὁπλίτην λύκον,
ὃ μηδ' ὃς ἐντὸς δελφύος συγγενῆ μάχην
στήσας ἀραγμοῖς πρὸς κασίγνητον χεροῖν.
οὔπω τὸ Τιτοῦς λαμπρὸν αὐγάζων φάος,
οὐδ' ἐκφυγὼν ὠδῖνας ἀλγεινῶν τόκων,
κοἰγὼ πόποι φύξηλιν ἀνδρῶσαν σπόρον,
πύκτην μὲν ἐσθλὸν πτῶκα δ' ἐν κλόνῳ δορὸς,
καὶ πλεῖστα τέχναις ὠφελήσαντα στρατόν,
ὃς ἀμφὶ Κίρνι καὶ Κυλιστάρνου γάνος.
ἔπηλυς οἴκους τῆλε νάσσεται πάτρας·
τὰ δ' ὀργαλεῖα, τοῖσι τετρήνας βρέτας,
τεύξει ποτ' ἐγχώροισι μόρμορον βλάβην,
καθιδρώσει Μυνδίας ἀγκτήροις
ἄλλοι δ' ἐνοικήσουσι Σικανῶν χθόνα,
πλαγκτοὶ μολόντες, ἔνθα Λαομέδων τριπλᾶς
ναύταις ἔδωκε Φοινοδάμαντος κόρας,
ταῖς κητοδόρποις συμφοραῖς δεδηγμένος,
τηλοῦ προθεῖναι θηρσὶν ὠμησταῖς βοράν,
μολόντας εἰς γῆν ἑσπέραν Λαιστρυγόνων,
ὅπου συνοικεῖ δαψιλὴς ἐρημία.

αἱ δ' αὖ παλαιστοῦ μητέρος ζηρυνθίας,
σηκὸν μέγαν λείψαντο δυστήνῳ θεᾷ,
μόρον φυγοῦσαι καὶ μονοκοίτους ἕδρας.
ὧν δὴ μίαν κριμισὸς ἰνδαλθεὶς κυνὶ
ἔζευξε λέκτροις ποταμός. ἡ δὲ δαίμονι
τῷ θηρομίκτῳ σκύλακα γενναῖον τεκνοῖ,
τριαστῶν συνοικιστῆρα καὶ κτίστην τόπων.
ὃς δὴ ποδηγῶν πόρθον ἀγχίσου νόθον,
ἄξει τρίδειρον νῆσον εἰς ληκτηρίαν.
τῶν δαρδανείων ἐκ τόπων ναυσθλούμενον.
αἰγέστα τλῆμον· σοὶ δὲ δαιμόνων φραδαῖς
πένθος μέγιστον καὶ δι' αἰῶνος πάτρας
ἔσται, πυρὸς ῥιπαῖσιν ἠθαλωμένης.
μόνη δὲ πύργων δυστυχεῖς κατασκαφάς.
νήπαυστον αἰάζουσα καὶ γοωμένη,
δαρὸν στενάξεις. πᾶς δὲ λοιγαίαν λεὼς.
ἐσθῆτα πρὸς ζόφαιον ἐγχλαινούμενος.
αὐχμῷ πινώδης λυπρὸν ἀμπρεύσει βίον.
κρατὸς δ' ἄκουρος νῶτα καλλυνεῖ φόβη,
μνήμην παλαιῶν τημελοῦσ' ὀδυρμάτων.
πολλοὶ δὲ σῖριν ἀμφὶ καὶ λευταρνίαν.
ἄρουραν οἰκήσουσιν· ἔνθα δύσμορος
κάλχας ὁ λαώθιων σισυφῶσ' ἐναρίθμων,
κεῖται, κάρα μάστιπ γοσύλη τυπείς,
ῥέεθροισιν ὠκὺς ἔνθα μύρεται σίνις,
ἄρδων βαθεῖαν χωνίας παγκληρίαν

πόλιν δ' ὁμοίαν Ἰλίῳ δυσδαίμονος
λείψαντες, ἀλτωσοῦσι λαφρίαν κόρην
σάλπιγγα, δηώσαντες ἐν ναῷ θεᾶς
τοὺς πρόσθ' ἔδεθλον ξουθίδας ᾠκηκότας.
γλῶναις δ' ἄγαλμα ταῖς ἀναιμάκτοις μύσει
στυγνὴν ἀχαιῶν εἰς ἰάονας βλάβην
λεῦσσον, φόνον τ' ἔμφυλον ἀγραύλων λύκων,
ὅταν θανὼν λήταρχος ἱερείας σκύλαξ,
πρῶτος κελαινῷ βωμὸν αἱμάξῃ βρότῳ.
ἄλλοι δὲ πρῶνας δυσβάτους τυλλησίους,
λίνου θ' ἁλισμήκτοιο λειραίαν ἄκραν,
ἀμαζόνος σύγκληρον ἀρσονται πέδον,
δούλης, γυναικὸς ζεῦγλαν ἐνδεδεγμένοι.
ἣν χαλκομίτρου θῆσσαν ὀτρηρῆς κόρης
πλανῆτιν ἄξει κῦμα πρὸς ξένην χθόνα,
ἧς ἐκπνεούσης λοῖσθον ὀφθαλμὸς τυπεὶς,
πιθηκομόρφῳ πότμον αἰτωλῷ φθόρον
τεύξει στάφνῃ φοινίῳ τετμημένῳ.
κροτωνιᾶται δ' ἄστυ πέρσουσίν ποτε,
ἀμαζόνος φθέρσαντες ἄφρομον κόρην,
κλήτην ἄνασσαν τῆς ἐπωνύμου πάτρας.
πολλοὶ δὲ πρόσθεν γαῖαν ἐκείνης ὀδὰξ
δάψουσι πρηνιχθέντες. οὐδ' ἄτερ πόνων
πύργους διαρραίσουσι λαυρήτης γόνοι.
οἱ δ' αὖ τέρειναν, ἔνθα μυνδαίνει ποτοῖς
ὠκίναρος γῆν, φοῖβον ἐκβράσσων ὕδωρ.

ἄλλῃ κατοικήσουσι κάμνοντες πικρά
τὸν δ᾽ αὖ τὰ δευτερεῖα καλλιστευμάτων
λαβόντα, καὶ τὸν ἐκ λυκορμαίων ποτῶν
στρατηλάτην σῦν καρτερὸν γόργης τόκον,
τῇ μὲν λίβυσσαν ψάμμον ἄξουσι πνοαὶ
θρῇσσαι· ποδώκεις ἐμφορούμεναι λίνοις.
τῇ δ᾽ ἐκ λιβύσσης αὖθις ἐμπίπτων νότος,
εἰς ἀργυρείννους καὶ κεραυνίων νάπας
ἄξει, βαρεῖ πρηστῆρι κυμαίνων ἅλα.
ἔνθα πλανήτην λυπρὸν ὄψονται βίον
λακμωνίου πίνοντες αἴαντος ῥοάς.
κρᾶθις δὲ γείτων, ἠδὲ μυλάκων ὅροις
χῶρος, συνοίκους δέξεται κόλχων πύλαις,
μαστῆρας οὓς θυγατρὸς ἔστειλε βαρὺς
αἴας κορίνθου τ᾽ ἀρχὸς εἰδυίας πόσις,
τὴν νυμφαγωγὸν ἐκκυνηγετῶν τρόπιν.
οἳ πρὸς βαθεῖ νάσσονται διζηροῦ πόρῳ.
ἄλλοι μελίτην νῆσον ὀθρωνοῦ πέλας
πλαγκτοὶ κατοικήσουσιν· ἣν πέριξ κλύδων
ἔμπλην παχύνου σικανὸς προσμάσσεται,
τοῦ σισυφείου παιδὸς ὀχθηρὰν ἄκραν
ἐπώνυμον ποθ᾽ ὑστέρῳ χρόνῳ γράφων,
κλεινόν θ᾽ ἵδρυμα παρθένου λογγάτιδος
ἕλωρος ἔνθα ψυχρὸν ἐκβάλλει ποτὸν
παπποκτόνος δ᾽ ὀθρωνὸν οἰκήσει λύκος,
τηλοῦ πατρῷα ῥεῖθρα κοσκύνθου ποθῶν

ὃς ἐν θαλάσσῃ χεράδων βεβὼς ἔπι,
ῥήξας πολίταις τὰς στρατοπλώτους ἐρεῖ.
χέρσου πατρῴας, οὐ γὰρ ἂν φονῆ, ποσὶ
ψαῦσαι μέγαν πλειῶνα μὴ πεφυγότα,
δίκης ἐάση τάρροθος τιλφουσία,
λάδωνος ἀμφὶ ῥεῖθρα ναίουσα σκύλαξ.
ὅθεν πεφυγὸς ἑρπετῶν δεινὴν μάχην
δρακοντομόρφων, εἰς ἀβαντίαν πόλιν
πλώσει. πέλας δὲ γῆς ἀπιντάνων μολὼν,
πράκτιν παρ' αὐτὴν αἰπὺ νάσεται λέπας,
τοῦ χαονίτου νᾶμα πολυάνθου δρέπων
ὃ δ' αὐσονείων ἄγχι κάλχαντος τάφων
δυοῖν ἀδελφοῖν ἄτερος ψυδηείων
ξένην ἐπ' ὀστέοισιν ὀγχήσει κόνιν.
δοραῖς δὲ μήλων τύμβον ἐγκοιμωμένοις,
χρήσει καθ' ὕπνον πᾶσι νημερτῆ φάτιν.
νόσων δ' ἀκέστης δαυνίοις κληθήσεται,
ὅταν κατικμαίνοντες ἀλθαίου ῥοαῖς,
ἀρωγὸν αὐδήσουσιν ἠπίου γόνον,
ἀστοῖσι καὶ ποίμναισι πρευμενῆ μολεῖν.
ἔσται ποτὲ πρεσβεῦσιν αἰπωλῶν φάος.
ἐκεῖ γοηρὸν καὶ πανέχθιστον φανὲν,
ὅταν σαλάπων γαῖαν αἰγέστων θ' ἕδη
μολόντες αἰτίζωσι κοιρανόυ γύας,
ἐσθλῆς ἀρούρης πῖαρ ἔγκληρον χθονός.
τούς δ' εἰς ἐρεμνὸν ζῶντας ὠμησταὶ τάφον,

κρύψουσι κοίλοις ἐν μυχοῖς διασφάγος.
τοῖς δ' ἀκτορίσου σῆμα δαυνῖται νεκρῶν
στήσουσι χωστῷ ζοχάλῳ κατηρεφὲς,
χώραν διδόντες ἣν πὰρ ἔχριζον λαβεῖν,
τῷ κρατοβρῶτος παιδὸς ἀγρέστου κάπρου.
τῶν ναυβολείων δ' εἰς τέμεσαν ἐγγόνων
ναῦται καταβλώξουσιν· ἔνθα λαμπέτης
ἱππωνίου πρηῶνος εἰς τηθαῦ κέρας
σκληρὸν νένευκεν. ἀντὶ δὲ κρίασης ὄρων,
κροτωνιᾶτιν ἀντίπορθμον αὔλακα
βοῶν ἀροτρεύσουσιν ὁλκαίῳ πίδρῳ,
πάτραν λίλαιαν καὶ ἐμωρέας πέδον
ποθοῦντες, ἄμφισσάν τε καὶ κλήνας ἄβας.
σὴ ταία τλῆμον, σοὶ δὲ πρὸς πέτραις μόρος
μίμνει δυσαίων, ἔνθα γηούργις πέδαις
οἴκτιστα χαλκείησιν ὀργυιωμένη
θανῇ, πυρὶ φλέξασα δεσποτῶν στόλον,
ἔκβλητον αἰάζουσα κράθιδος πέλας,
τόργοισιν αἰώρημα φοινίοις δέμας.
ἁπλᾶς δ' ἐκείνη σῆς φερώνυμος τύχης,
πόντον προσαυγάζουσα φημισθήσεται.
οἱ δ' αὖ πλασιῶν ἀμφὶ μέμβλησος ῥοὰς
νῆσόν τε κερνεᾶτιν ἐκπεπλωκότες,
ὑπὲρ πόρον τυρσηνὸν ἐν λαμητίαις
δίναισιν, οἰκήσουσι λευκανῶν πλάκας.
καὶ τοὺς μὲν ἄλγη ποικίλαι τε συμφοραὶ

ἄνοστον αἰάζοντας ἕξουσιν τύχην
ἐμῶν ἕκατι δυσγάμων ῥυσαγμάτων
οὐδ' οἱ χρόνῳ μολόντες ἀσπαστῶς δόμους,
εὐκταῖον ἐκλάμψουσι θυμάτων σέλας.
χάριν τίνοντες κερδύλῳ λαρυνθίῳ
βιαῖς δ' ἐχῖνος μηχαναῖς οἰκοφθόρων,
παρβουκολίξει τὰς ἀλεκτόρων πικρὰς
στεγανόμους ὄρνιθας· οὐδὲ ναυφάγοι
λήξουσι πένθους δυσμενοῦς φρυκτωρίαι,
πόρθου διαῤῥαισθέντος. ὃν νεοσκαφής
κρύψει ποτ' ἐν κλήροισι μηθύμνης στέγης.
ὁ μὲν γὰρ ἀμφίχυτλα τὰς δυσεξόδους
ζητῶν κελεύθους αὐχενιστῆρος βρόχου.
ἐν ἀμφιβλήστρῳ συντεταργανωμένος,
τυφλαῖς ματεύσει χερσὶ κροσσωτοὺς ῥαφάς.
θερμὴν δ' ὑπαίλου σφῶνος ἀρνεύων στέγην,
τηλῶα καὶ κύπελλον ἐγκάρῳ ῥανεῖ,
τυπεὶς σκεπάρνῳ κόγχον εὐθήκτῳ μέσον.
οἰκτρὰ δὲ πέμφιξ ταὔχρον ἐκβρύξεται,
λυπρὰν λεαίνης εἰσὶ δοῦσ' οἰκουρίαν.
ἐγὼ δὲ δροίτης ἄγχι κείσομαι πέδῳ,
χαλυβδικῷ κνώδοντι συντεθραυσμένη,
ἐπεί με πεύκης πρέμνον ἢ στύπος δρυός,
ὅπως τις ὑλοκουρὸς ἐργάτης ὀρεὺς,
ῥήξει πλατὺν τένοντα καὶ μετάφρενον.
καὶ πᾶν λακίζουσ' ἐν φοναῖς ψυχρὸν δέμας

δράκαινα διψὰς, κἀπιβᾶσ' ἐπ' αὐχένα
πλήγει γέμοντα θυμὸν ἀγρίας χολῆς,
ὡς κλεψίνυμφον κοὐδὲ ῥύκτηρον γέρας.
δύζηλος ἀστένακτα τιμωρουμένη.
βοῶσα δ' οὐ κλύοντα δεσπότην πόσιν,
θεύσω κατ' ἴχνος ἠνεμωμένη ποδοῖν.
σκύμνος δὲ πατρὸς κῆρα μαστεύων φόνου,
εἰς σπλάγχν' ἐχίδνης αὐτόχειρ βάψει ξίφος.
κακὸν μίασμ' ἔμφυλον ἀλθαίνων κακῷ.
ἐμὸς δ' ἀκοίτης δμωΐδος νύμφης ἄναξ
Ζεὺς σπαρτιάταις αἱμύλοις κληθήσεται
τιμὰς μεγίστας οἰβάλου τέκνοις λαχών.
οὐ μὴν ἐμὸν νώνυμον ἀνθρώποις σέβας
ἔσται μαρανθὲν αὖ θι ληθαίω σκότω.
ναὸν δέ μοι τεύξουσι δαυνίων ἄκροι,
σάλπης παρ' ὄχθαις, οἵ τε δάρδανον πόλιν.
ναίουσι λίμνης ἀγχιτέρμονες ποτῶν
κοῦραι δὲ παρθένειον ἐκφυγεῖν ζυγὸν
ὅταν θέλωσι, νυμφίους ἀρνούμεναι,
τοὺς ἐκτορέους ἠγλαισμένους κόμαις,
μορφῆς ἔχοντας σίφλον ἢ μῶμαρ γένους,
ἐμὸν περιπτύξουσιν ὠλέναις βρέτας,
ἄλκαρ μέγιστον κτώμεναι νυμφευμάτων,
ἐρινύων ἐσθῆτα καὶ ῥέθους βαφὰς
πεπαμέναι θρόνοισι φαρμακτηρίοις
κείναις ἐγὼ δηναιὸν ἄφθιτος θεὰ

ῥαβδηφόροις γυναιξὶν αὐδηθήσομαι.
πένθος δὲ πολλαῖς παρθένων τητωμέναις
τεύξω γυναιξὶν αὖθις, αἳ στρατηλάτην
ἀθεσμόλεκτρον κύπριδος λῃστὴν θεᾶς
δαρὸν στένουσαι, κλῆρον εἰς ἀνάρσιον
πέμψουσι παῖδας ἐστερημένας γάμων.
λάρυμνα καὶ σπέρχειε, καὶ βοάγριε,
καὶ κῦνε, καὶ σκάρφεια, καὶ φαλωριάς,
καὶ ναρύκειον ἄστυ, καὶ θρονίτιδες
λοκρῶν ἀγυιαὶ, καὶ πυραίθιοι νάπαι,
καὶ πᾶς ὁ δοιδόκου ἰλέως δόμος,
ὑμεῖς ἐμῶν ἕκατι δυσσεβῶν γάμων,
ποινὰς γυγαία τίσετ' ἀγρίσκα θεᾶ,
τὴν χιλίωρον τὰς ἀνυμφεύτους χρόνον
πάλου βραβείαις γηροβοσκοῦσαι κόρας
αἷς ἀκτέριστος ἐν ξένῃ ξέναις τάφος
ψάμμῳ κλύδωνος λυπρὸς ἐκλυθήσεται.
ὅταν ἀκάρποις γυῖα συμφλέξας φυτοῖς
ἥφαιστος εἰς θάλασσαν ἐκβράσῃ σποδὸν,
τῆς ἐκ λόφων τράρωνος ἐφθιτωμένης.
ἄλλαι δὲ νύκτωρ ταῖς θανουμέναις ἴσαι,
σίθωνος εἰς θυγατρὸς ἵξονται γύας,
λαθραῖα κἀκκέλευθα παπταλώμεναι,
ἕως ἂν εἰς θρέξωσιν ἀμφιέρας δόμους,
λιταῖς σθενείας ἱκέτιδες γουνούμεναι,
θεᾶς δ' ὀφέλτρευσωσι κοσμοῦσαι πέδον.

δρόσῳ τε φοιβάσωσιν ἀστεργῆ χόλον
ἀστῶν φυτεύσαι. πᾶς γὰρ ἰλιεὺς ἀνὴρ
κόρας δοκεύσει, πέτρον ἐν χεροῖν ἔχων,
ἢ φάσγανον κελαινὸν, ἢ ταυροκτόνον
στερρὰν κύβηλιν, ἢ φαλακραῖον κλάδον.
μαιμῶν κορέσαι χεῖρα διψῶσαν φόνου
δῆμος δ' ἀνατεὶ τὸν κτανόντ' ἐπαινέσει,
τεθμῷ χαράξας τοὐπιλώβητον γένος
ὦ μῆτερ ὦ δύσμητερ, οὐδὲ σὸν κλέος
ἄπυστον ἔσται. περσέως δὲ παρθένος
βριμὼ τρίμορφος θήσεταί σ' ἐπωπίδα
κλαγγαῖσι ταρβήσουσαν ἐννύχοις βροτοὺς
ὅσοι μεδούσης στρυμόνος ζηρυνθίας
δείκηλα μὴ σέβουσι λαμπαδουχίαις,
θύσθλοις φεραίαν ἐξακεύμενοι θεάν
ψευδήριον τοι νησιωτικὸς στόνυξ
πάχυνος ἕξει σεμνὸν ἐξ ὀνειράτων.
ταῖς δεσποτείαις ὠλέναις ὠγκωμένον,
ῥείθρων ἑλώρου πρόσθεν ἐκτερισμένης
ὃς δὴ παρ' ἀκταῖς τλήμονος ῥανεῖ χοὰς
τριαύχενος μίμημα δειμαίνων θεᾶς,
λευστῆρα πρῶτον οὕνεκα ῥίψας πέτρον
ἄρξει κελαινῶν θυμάτων ἀπάρξεται.
σὺ δ' ὦ ξύναιμε, πλεῖστον ἐξ ἐμῆς φρενὸς
στερχθεὶς, μελάθρων ἕρμα καὶ πάτρας ὅλης,
οὐκ εἰς κενὸν κρηπῖδα φοινίξεις φόνῳ

ταύρων, ἄνακτι τῶν ὀφίωνος θρόνων.
πλείστας ἀπαρχὰς θυμάτων δωρούμενος.
ἀλλ' ἄξεταί σε πρὸς γενέθλιον πλάκα,
τὴν ἐξόχως γραικοῖσιν ἐξυμνουμένην.
ὅπου σφε μήτηρ ἡ πάλης ἐμπείραμος,
τὴν πρόσθ' ἄνασσαν ἐμβαλοῦσα ταρτάρῳ,
ὠδῖνας ἐξέλυσε λαθραίας γονῆς,
τὰς παιδοβρώτους ἐκφυγοῦσ' ὁμευνέτου
θοίνας ἀσίτους. οὐδ' ἐπίανεν βορᾷ
νηδὺν, τὸν ἀντίποινον ἐκλάψας πέτρον
ἐν γυιοκόλλοις σπαργάνοις εἱλιγμένον
τύμβος γε τὼς κένταυρος, ὠμόφρων σποράς.
νήσοις μακάρων ἐγκατοικήσεις μέγας,
ἥρως ἀρωγὸς λοιμικῶν τοξευμάτων.
ὅπου σε πεισθεὶς ὠγύγου σπαρτὸς λεὼς,
χρησμοῖς ἰακχοῦ λεψίου τερμινθέως,
ἐξ ὀφρυνείων ἠρίων ἀνειρύσας
ἄξει καλύδνου τύρσιν ἀόνων τε γῆν
σωτῆρ. ὅταν κάμνωσιν ὁπλίτῃ στρατῷ
πέρθοντες χώραν τηνέρου τ' ἀνάκτορα.
κλέος δὲ σὸν μέγιστον ἐκ τήνων πρέμοι
λοιβαῖσι κυδαινοῦσιν ἀφθίτοις ἴσον.
ἥξει δὲ κνωσσὸν κἀπὶ γόρτυνος δόμους
τοὐμὸν ταλαίνης πῆμα. πᾶς δ' ἀνάστατος
ἔσται στρατηγῶν οἶκος. οὐ γὰρ ἥσυχος.
πορκεὺς δίκωπον σέλμα ναυστολῶν ἐλᾷ,

λώβην στροβήσων φύλακα τῆς μοναρχίας
ψυδραῖσι τ' ἐχθρὰν μηχαναῖς ἀναπλέκων,
ὃς οὔτε τέκνων φείσετ' οὔτε συγγάμου
μήδας δάμαρτος ἠγριωμένος φρένας
οὐ κλεισιθήρας θυγατρὸς, ἧς πρὸ λέχους
θρεπτῷ δράκοντι συγκατανέσει πικρὸν
πάντας δ' ἀνάγνοις χερσὶν ἐν ναῷ κτενεῖ,
λώβαισιν αἰκισθέντας ὀγκαίου βόθρου
γένους δὲ πάππων τῶν ἐμῶν αὖθις κλέος·
μέγιστον αὐξήσουσιν ἄμναμοί ποτε.
αἰχμαῖς τὸ πρωτόλειον ἄραντες στέφος,
γῆς καὶ θαλάσσης σκῆπτρα καὶ μοναρχίαν
λαβόντες· οὐδ' ἄμνηστον ἀθλία πατρὶς
κῦδος μαρανθὲν ἐγκατακρύψεις ζόφω·
τοιούσδ' ἐμός τις σύγγονος λείψει διπλοῦς·
σκύμνους λέοντας, ἔξοχον ῥώμης γένος,
ὁ καστνίας τῆς τε χειράδος γόνος,
βουλαῖς ἄριστος οὐδ' ὀνοστὸς ἐν μάχαις.
ὃς πρῶτα μὲν ῥαίκηλον οἰκήσει μολὼν,
κισσοῦ παρ' αἰπὺν πρῶνα καὶ λαφυστίας
κερασφόρους γυναῖκας, ἐκ δ' ἀλμωνίας
πάλιν πλανήτην δέξεται τυρσηνία
λιγγεύς τε θερμὸν ῥεῖθρον ἐκβράσσων ποτῶν·
καὶ πῖσ' ἀγύλλης θ' αἱ πολύῤῥηνοι νάπαι
σὺν δέ σφι μίξει φίλιον ἐχθρὸς ὢν στρατὸν,
ὅρκοις κρατήσας καὶ λιταῖς γουνασμάτων

ναύοις πλαγαίαισι πάντ' ὀργυιώσας μυχὸν
ἁλός τε καὶ γῆς. σὺν δὲ δίπτυχοι τόκοι
μυσῶν ἄνακτος, οὗ ποτ' οἰκουρὸς δόρυ
γνάμψει θέοινος, γυῖα συνδήσας λύγοις,
τάρχων τε καὶ τυρσηνὸς αἴθωνες λύκοι
τῶν ἡρακλείων ἐκγεγῶτες αἱμάτων.
ἔνθα τράπεζαν εἰδάτων πλήρη κιχὼν
τὴν ὕστερον βρωθεῖσαν ἐξ ὀπαόνων,
μνήμην παλαιῶν λήψεται θεσπισμάτων.
κτίσει δὲ χώραν ἐν τόποις βορειγόνων,
ὑπὲρ λατίνους δαυνίους τ' ᾠκισμένην.
πύργους τριάκοντ' ἐξαριθμήσας γονὰς
συὸς κελαινῆς, ἣν ἀπ' ἰδαίων λόφων
καὶ δαρδανείων ἐκ τόπων ναυσθλώσεται,
ἰσηρίθμων θρέπτειραν ἐν τόκοις κάπρων
ἧς καὶ πόλει δείκηλον ἀνθήσει μιᾷ.
χαλκῷ τυπώσας καὶ τέκνων γλαγοτρόφων.
δείμας δὲ σηκὸν μυνδίᾳ παλληνίδι,
πατρῷ' ἀγάλματ' ἐγκατοικιεῖ θεῶν.
ἃ δὴ παρώσας καὶ δάμαρτα καὶ τέκνα,
καὶ κτῆσιν ἄλλην ὀμπνίαν κειμηλίων.
σὺν τῷ γεραιῷ πατρὶ πρεσβιώσεται,
πέπλοις περισχών, ἦμος αἰχμηταὶ κύνες
τὰ πάντα πάτρας συλλαφύξαντες πάλῳ,
τούτῳ μόνῳ πόρωσιν αἵρεσιν δόμων
λαβεῖν ὃ χρῄζει κἀπινέγκασθαι δάνος.

τῷ καὶ παρ' ἐχθροῖς δυσεβέστατος κριθεὶς,
τὴν πλεῖστον ὑμνηθεῖσαν ἐν χάρμαις πάτραν
ἐν ὀψιτέκνοισ' ὀλβίαν δομήσεται
τύρσιν, μακεδνὰς ἀμφὶ κιρκαίου νάπας,
ἀργοῦς τε κλεινὸν ὅρμον αἰήτην μέγαν.
λίμνης τε φόρκης μαρσιωνίδος ποτὰ,
τιτώνιόν τε χεῦμα, τοῦ κατὰ χθονὸς
δύνοντος εἰς ἄφαντα ἐθμῶνος βάθη,
ζωστηρίου τε κλιτὺν, ἔνθα παρθένου
στυγνὸν σιβύλλης ἐστὶν οἰκητήριον,
γρώνῳ βερέθρῳ συγκατηρεφὲς στέγης.
τοσαῦτα μὲν δύστλητα πείσονται κακὰ
οἱ τὴν ἐμὴν μέλλοντες αἰστώσειν πάτραν
τί γὰρ ταλαίνῃ μητρὶ τῇ προμηθέως
ξυνὸν πέφυκε, καὶ τροφῷ σαρπηδόνος.
ἃς πόντος ἕλλης, καὶ πέτραι συμπληγάδες.
καὶ σαλμυδησσὸς καὶ κακόξεινος κλύδων
σκύθαισι γείτων καρτεροῖς εἴργει πάγοις,
λίμνην τε τέμνων ταναῒς ἀκραιφνὴς μέσην
ῥείθροις ὁρίζει, προσφιλεστάτην βροτοῖς
χίμε τλαμαιώταισι θρηνοῦσι ποδῶν
ὄλοιντο ναῦται πρῶτα καρνῖται κύνες,
οἳ τὴν βοῶπιν ταυροπάρθενον κόρην,
λέρνης ἀνηρείψαντο φορτηγοὶ λύκοι.
πλᾶτιν πορεῦσαι κῆρα μεμφίτῃ πρόμῳ
ἔχθραν δὲ πυρσὸν ἦραν ἠπείροις διπλαῖς.

αὖθις γὰρ ὕβριν τὴν βαρεῖαν ἁρπαγῆς,
κούρητες ἀντίποινον ἰδαῖοι κάπροι,
ζητοῦντες αἰχμάλωτον ἤμπρευσαν πόριν,
ἐν ταυρομόρφῳ τράμπιδος τυπώματι,
σαραπτίαν δικταῖον εἰς ἀνάκτορον
δάμαρτα κρήτης ἀστέρῳ στρατηλάτῃ·
οὐδ' οἵγ' ἀπηρκέσθησαν ἀντ' ἴσων ἴσα
λαβόντες· ἀλλὰ κλῶπα σὺν τεύκρῳ στρατὸν
καὶ σὺν σκαμάνδρῳ δραυκίῳ φυτοσπόρῳ,
εἰς βεβρύκων ἔστειλαν οἰκητήριον,
σμίνθοισι δηρίσοντας. ὧν ἄπο σπορᾶς
ἐμοὺς γενάρχας ἐξέφυσε δάρδανος,
γήμας ἀρίσβαν κρῆσσαν εὐγενῆ κόρην·
καὶ δευτέρους ἔπεμψαν ἁρπαγὰς λύκους
ταγῷ μονοκρήπιδι κλέψοντας νάκην,
δρακοντοφρούροις ἐσκεπασμένην σκοπαῖς.
ὃς εἰς κυταίαν τὴν λιγυστικὴν μολὼν,
καὶ τὸν τετράπνην ὕδρον εὐνάσας θρόνοις,
καὶ γυρὰ ταύρων βαστάσας πυριπνόων
ἄροτρα, καὶ λέβητι δαιτρευθεὶς δέμας,
οὐκ ἀσμένος ἔμαρψεν ἐῤῥώου σκύτος
ἀλλ' αὐτόκλητον ἁρπάσας κεραΐδα,
τὴν γνωτοφόντιν καὶ τέκνων ἀλάστορα.
εἰς τὴν λάληθρον κίσσαν ἡρματίξατο,
φθοιτὴν ἐδωλίαν χαωνικῶν ἄπο
βροτησίαν ἱεῖσαν ἔμπαιον δρόμων·

πάλιν δ' ὁ πέρσας ἀστέρας ἀνειρύσας
καὶ φασγάνου ζωστῆρα καὶ ξίφος πατρός,
ὁ Φημίου παῖς, σκῦρος ᾧ λυγροὺς τάφους
κρημνῶν ἔνερθεν αἰγίλιψ οἱ ζουμένων
πάλαι δοκεύει τὰς ἀπαρχύτους ῥιφάς,
σὺν θηρὶ βλώξας, τῷ ἀνάσσαν πιδηΐας
μύστη τροπαίας μαστὸν εὔθηλον θεᾶς
ζωστηροκλήπτης, νεῖκος ὤρινεν διπλοῦν
στόρνην τ' ἀμέρσας, καὶ θεμισκύρας ἄπο
τὴν τοξοδέμνον νοσφίσας ὀρθωσίαν.
ἧς αἱ ξυναίμοι παρθένοι νεπουνίδες,
ἔριν λιποῦσαι, λάγμον, ἠδὲ τήλαμον·
καὶ χεῦμα θερμώδοντος, ἀκταῖόν τ' ὄρος,
ποινὰς ἀθέλκτους ἁρπαγὰς διζήμεναι,
ὑπὲρ κελαινὸν ἴστρον ἤλασαν σκύθας
ἵππους, ὁμοκλήτειραν ἱεῖσαι βοὴν
γραικοῖσιν ἀμνάμοις τε τοῖς ἐρεχθέως·
καὶ πᾶσαν ἀκτὴν ἐξεπόρθησαν δορὶ,
τὰς μομφοποιοὺς αἰθαλώσασαι γύας·
πάππος δὲ θρήκης οὑμὸς ἀϊστώσας πλάκα,
χώραν τ' ἰωρδῶν καὶ γαλαδραῖον πέδον,
ὅρους ἔπηξεν ἀμφὶ πηνειοῦ ποτοῖς,
στερρὰν τραχήλῳ ζεύγλαν ἀμφιθεὶς πέδαις·
ἀλκῇ νέανδρος εὐπρεπέστατος γένους·
ἤδ' αὖ τὶ τούτων τάρροθον βοηλάτην
τὸν ἐξάπρυμνον στέρφος ἐγχλαινούμενον
στείλασα,

στείλασα, λίστροις αἰπὺν ἤρειψεν πάγον.
τὸν, ἣ παλίμφρων γογὰς ἐν κλήροις θεῶν
καθιδρώσει πημάτων ἀρχηγέτις.
αὖθις δὲ κίρκοι Τμῶλον ἐκλελοιπότες,
κίμψοντε, καὶ χρυσεργὰ Πακτωλοῦ ποτὰ,
καὶ νᾶμα λίμνης, ἔνθα Τυφῶνος δέμας
κευθμῶνος αἰνόλεκτρον εὐδένει μυχὸν,
Ἄγυλλαν αὐσονῖτιν εἰσεκώμασαν,
δεινὴν λιγυστίνοισι, τοῖς τ' ἀφ' αἵματος
ῥίζαν γιγάντων σιθώνων κεκτημένοις,
λόγχης ἐν ὑσμίνῃσι μίξαντες πάλην
εἷλον δὲ Πίσαν· καὶ δορύκτητον χθόνα
πᾶσαν κατειργάσαντο τὴν Ὄμβρων πέλας,
καὶ Σαλπίων βεβῶσαν ὀχθηρῶν πάγων.
λοῖσθος δ' ἐγείρει γραιὸς ἀρχαίαν ἔριν,
πῦρ εὗδον ἤδη τὸ πρὶν ἐξάπτων φλογὶ,
ἐπεὶ Πελασγοὺς εἶδε ῥαυδακοῦ ποτῶν
κρωσσοῖσιν ὀθνείοισι βάψαντας γάνος.
ἣ δ' αὖτις οἰστρήσασα τιμωρουμένη,
τριπλᾶς τετραπλᾶς αὐλιτήσεται βλάβας,
πορθοῦσα χώρας ἀντίπορθμον ἠόνα.
πρῶτος μὲν ἥξει ζηνὶ τῷ λαπερσίῳ
ὁμώνυμος Ζεύς· ὃς καταιβάτης μολὼν,
σκηπτῷ πυρώσει πάντα δυσμενῶν σταθμά.
σὺν ᾧ θανοῦμαι. κἂν νεκροῖς στρωφωμένη,
τὰ λοίπ' ἀκούσω ταῦθ' ἃ νῦν μέλλω θροεῖν.

ὁ δεύτερος δὲ τοῦ πεφασμένου κέλωρ·
ἐν ἀμφιβλήστροις εἰλλόπους μινδοῦ δίκην,
κάτω θαλάσσει γαῖαν ὀθνείαν μολὼν,
χρησμοῖς ἰάζου σὺν πολυγλώσσῳ στρατῷ·
τρίτος δ' ἄνακτος τοῦ δρυηκόπου γόνος
τὴν τευχοπλάστιν παρθένον βαγχησίαν
παραμολίξας, βῶλον ἐμπεφυρμένην
νασμοῖς ὀρέξαι τῷ κεχρημένῳ δένος,
σφραγῖδα δ' ἐν τῷ δακτύλων ἐφαρμόσαι
φθειρῶν ὀρείαν στήσεται μοναρχίαν,
τὸν πρωτόμισθον καραδοκῶσας στρατὸν
ὅταν κόρημα σωρὸς εἰς ἐπείσιον
χλούνην ὑλακτήσασα κηκάσῃ γάμους
νυμφεῖα πρὸς κήλωνα καρβανῶν τελεῖν
οἱ δ' αὖ τέταρτοι τῆς δυμαντείου σπορᾶς,
λακμώνιοί τε καὶ κυτιναῖοι κόδροι·
οἳ θίγγρον οἰκήσουσι, σάτνιόν τ' ὄρος,
καὶ χερσόνησον τοῦ πάλαι ληκτηείαν
θεᾶς κυεῖ τὰ πάμπαν ἐστυγημένου,
τῆς παντομόρφου βασσάρας λαμπουρείδος
τοκῆος. ἥ τ' ἀλφαῖσι ταῖς καθ' ἥμβραν
βούπειναν ἀλθαίνεσκεν ἀκμαίαν πατρός.
ὀθνεῖα γατομοῦντος αἴθωνος πέδα
ὁ Φρὺξ δ' ἀδελφῆς αἷμα τιμωρούμενος,
πάλιν πιθηνὸν ἀντιπορθήσει χθόνα
τοῦ νεκροτάφου τὰς ἀθωπεύτους δίκας

φθιτοῖσι ἐκδύοντος ἀστεργεῖ φόνῳ
ὅς δή ποτ' ἀμφώδοντος ἐξ ἄκρων λοβῶν
φθόρσας κύφελλα καὶ μαυρεῖ παρωτίδας,
δαίπταις τιτύσκων αἱμοπώτησιν φόβον.
τῷ, πᾶσα φλέγρας αἶα δουλωθήσεται,
θραμβουσία τε δειράς, ἥτ' ἐπάκτιος
σόρθυγξ τίτωνος, αἵτε σιθώνων πλάκες
παλλωνία τ' ἄρουρα. τὴν ὁ βούκερως
βρύχων λιπαίνει γηγενῶν ὑπηρέτης.
πολλῶν δ' ἐναλλὰξ πημάτων ἀμείψεται
κανδαῖος ἢ μάμερτος, ἢ τί χρὴ καλεῖν
τὸν αἱμοφύρτοις ἐστιωμένον μάχαις.
οὐ μὴν ὑπείξει γ' ἠπιμηθέως τοκάς.
ἀλλ' αὐτὶ πάντων περσέως οὐχ ἀσπορᾶς
στελεῖ γίγαντα. τῷ θάλασσα μὲν βατὴ
πεζῷ ποτ' ἔσται. γῆ δὲ ναυσθλωθήσεται
ἐρέσσοντι πηδοῖς χέρσον. οἱ δὲ λαφρίας
οἶκοι μαμέρσας ἠθαλωμένοι φλογί,
σὺν καλίνοισι τειχέων προβλήμασι,
τὸν χρησμολέσχην αἰτιάσονται βλάβης,
ψαίνυνθα θεσπίζοντα πλούτωνος λάτριν.
στρατῷ δ' ἀμίκτῳ, πᾶσα μὲν βρωθήσεται,
φλοιῷ τιν' ἐκδύνουσα δίπλακα σκέπην,
καρποτρόφος δρῦς, ἀγρία τ' ὀρειθαλής.
ἅπας δ' ἀναύρων νασμὸς αὐανθήσεται,
χανδὸν κελαινὴν δίψαν αἰονουμένων.

κύφελλα δ' Ἰῶν τηλόθεν ῥοιζουμένων
ὑπὲρ κάρα στήσουσι, κίμμερός θ' ὅπως
σκιὰν καλύψει πέρραν ἀμβλωπὸν σέλας.
λοκρὸν δ' ὀπάτρια παῦρον αἰθύσσας ῥόδον.
καὶ πάντα φλέξας ὥστε κάγκανον στάχυν.
αὖθις παλιμπλώτοιο γεύσεται φυγῆς.
μόσσυνα Φηγότευκτον, ὡς λυκοψίαν
κόρη κνεφαίαν, ἄγχι παμφαλώμενος,
χαλκηλάτῳ κνώδοντι δειμαζουμένη.
πολλοὶ δ' ἀγῶνες καὶ φόνοι μεταίχμιοι
λύσουσιν ἀνδρῶν, οἱ μὲν ἐν γαίᾳ πάλαι
δειναῖσιν ἀρχαῖς ἀμφιδηριωμένων,
οἱ δ' ἐν μεταφρένοισι βουστρόφοις χθονὸς
ἕως ἂν αἴθων εὐνάσῃ βαρὺν κλόνον,
ἀπ' Αἰακοῦ τε κἀπὸ Δαρδάνου γεγώς.
Θεσπρωτὸς ἄμφω καὶ χαραδραῖος λέων
πρηνῆ θ' ὁμαίμων πάντα κυπώσας δόμον,
ἀναγκάσει πτήξαντας Ἀργείων πρόμους,
σῆναι χαράδρης τὸν στρατηλάτην λύκον,
καὶ σκῆπτρ' ὀρέξαι τῆς πάλαι μοναρχίας.
ᾧ δὴ μεθ' ἕκτην γένναν αὐθαίμων ἐμὸς
εἷς τις παλαιστὴς συμβαλὼν ἀλκὴν δορὸς
πόντου τε καὶ γῆς, κεἰς διαλλαγὰς μολὼν.
πρέσβιστος ἐν φίλοισιν ὑμνηθήσεται,
σκύλων ἀπαρχὰς τὰς δορυκτήτους λαβὼν
τί μακρὰ τλήμων, εἰς ἀνηκόους πέτρας,

εἰς κῦμα κωφὸν ἢ νάπας δυσπλήτιδας
βάζω, κενὸν ψάλλουσα μάστακος κρότον.
πίστιν γ' ὁ λόγων γὰρ Λεψιεὺς ἐνόσφισε,
ψευδηγόροις φήμαισιν ἐγχρίσας ἔπη,
καὶ θεσφάτων πρόμαντιν ἀψευδῆ φρένιν,
λέκτρων στερηθεὶς ὧν ἐκάλχαινεν τυχεῖν.
θήσει δ' ἀληθῆ· σὺν κακῷ δέ τις μαθὼν,
ὅτ' οὐδὲν ἔστι μῆχος ὠφελεῖν πάτραν,
τὴν φοιβόληπτον αἰνέσει χελιδόνα.
τόσ' ἠγόρευε, καὶ παλίσσυτος ποσὶν,
ἔβαινεν εἱρκτῆς ἐντός. ἐν δὲ καρδίᾳ
σειρῆνος ἐστέναξε λοίσθιον μέλος,
Κλάρου μιμαλλὼν, ἢ μελαγκραίρας κόπις,
Νησοῦς θυγατρὸς, ἤ τι Φίκιον τέρας,
ἑλικτὰ κωτίλλουσα δυσφράστως ἔπη.
ἐγὼ δὲ λοξὸν ἦλθον ἀγγέλων, ἄναξ,
σοὶ τόνδε μῦθον παρθένου φοιβαστρίας.
ἐπεί μ' ἔταξας φύλακα λαΐνου στέγης
καὶ πάντα φράζειν κἀναπεμπάζειν λόγον
ἐτητύμως ἄψορρον ὅσ' ἴυγγας ῥόχιν.
δαίμων δὲ φήμας ἐς τὸ λῷον ἐκδραμεῖν
τεύξειεν. ὅς περ σῶν προκήδεται θρόνων,
σώζων παλαιὰν Βεβρύκων παγκληρίαν.

ΤΕΛΟΣ·

Venetijs in ædib. Aldi, et Andreæ Aſulani Soceri, Menſe Ianuario M.D.XIII.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

error dyo dionysii qui credit caspium mare ortum habere
ab oceano glaciali
Error alius ubi ait tropicum cancri supra taprobanem
converti: pars enim eius borealior non ut videre est
apud Ptolemaeum, sed est fere gr. 17. ab aequinoctiali
remota, cum tropicus cancri sit 23. gradibus et dimidio ab aequi
noctiali distet.
Error alius, ubi vult in thyle insula, solem dum in tropi
co est non fuerit semper supra terram in conversione. Nam Pto
lomeus non dicit illi diem esse horarum maximum horarum 20
Error alius dicit fontes tanai fluvii esse in montibus caucasiis
cum sint [illegible] Ptolomeum in Ripheis

ἄεθλος

" ἀλλὰ δ' ἐπ' ἄλλοι ἔβαν

" ἀρεθῶν. πολλαὶ δ' ὁδοὶ

" σὺν θεοῖς εὐπραγίας.

Τιμάθενες.

πίν. ἰσθ. μελθ

. . . ἀμναμονες δὲ βροτοὶ

ὅτι μὴ σοφίας ἄωτον ἄκρον

κλυταῖς ἐπέων ῥοαῖσιν ἐξίκηται ζυγέν

. λίβυς νέρηος. τὰ πινδάρου

κλέος ἄφθιτον αἰνεῖ καὶ τοῖ ἔργοις

παντὶ θυμῷ σύν τε λύρᾳ

κόμπα ῥέξοντ' ἐννέπειν.

[illegible] Google

Google